Soph. O. C. 883: ἆρ' οὐχ ὕβρις τάδ(ε); 1729: θέμις δὲ πῶς τάδ' ἐστί;

Hom. Od. 1, 226: οὐκ ἔρανος τάδε γ' ἐστίν.

Il. 8, 362–3: οὐδέ τι τῶν μέμνηται, ὅ οἱ μάλα πολλάκις υἱὸν | τειρόμενον σώεσκον ὑπ' Εὐρυσθῆος ἀέθλων.

For καὶ ταῦτα, see under οὗτος.

For Attraction of the Demonstrative by the Predicate, see **127**.

For Attraction of the Article, see **574**, **635**.

503. Agreement of Common Adjective Attribute. — The common adjective attribute of two or more substantives agrees with the nearest. Exceptions are explicable.

σῖτος πολὺς καὶ πρόβατα, Xen. An. 2, 4, 27; *Much bread-stuff and small cattle* (*sheep*). **πολλαὶ κριθαὶ καὶ πυροί**, *Ibid.* 7, 1, 13; *Much barley and wheat*.

Dem. 18, 271: δεινὰ πεπόνθασι . . . καὶ πόλεις ὅλαι καὶ ἔθνη. 1, 19:

μηδεμίαν μήτε χάριν μήτ' ἄνδρα. 25, 68: τῶν ὑπαρχόντων νόμων καὶ πολιτείας (481).

Lys. [6], 47: ἀναμνήσθητε δὲ καὶ αὐτοὶ ἐξ ὅσων κακῶν καὶ πολέμου ὑμᾶς αὐτοὺς περιεποιήσατε. 13, 95: μηδαμῶς . . . μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ.

Plato, Legg. 838 A: ὅταν ἀδελφὸς ἢ ἀδελφή (= ἀδελφοί) τῳ γένωνται καλοί (480). Rpb. 459 C: συχνῷ τῷ ψεύδει καὶ τῇ ἀπάτῃ.

Xen. An. 1, 5, 6: ὁ δὲ σίγλος δύναται ἑπτὰ ὀβολοὺς καὶ ἡμιωβόλιον Ἀττικούς (concord due to ἑπτά). 2, 4, 27 (see above). 7, 1, 13 (see above).

Thuc. 1, 102, 4: καὶ πρὸς Θεσσαλοὺς ἅμα ἀμφοτέροις οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία κατέστη. 2, 49, 8: ἐς ἄκρας χεῖρας καὶ πόδας. 6, 49, 4: οὔτε πλοῦν πολὺν οὔτε ὁδόν.

Hdt. 3, 82: τριῶν γὰρ προκειμένων καὶ πάντων τῷ λόγῳ ἀρίστων ἐόντων, δήμου τε ἀρίστου καὶ ὀλιγαρχίης καὶ μουνάρχου.

Ar. Lys. 1134: Ἕλληνας ἄνδρας καὶ πόλεις ἀπόλλυτε. Ran. 470–2: τοία Στυγὸς σε μελανοκάρδιος πέτρα | Ἀχερόντιός τε σκόπελος αἱματοσταγὴς | φρουροῦσι, Κωκυτοῦ τε περίδρομοι κύνες, κτέ.

Aeschyl. Eum. 437–8: λέξας δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς | τὰς σάς. Pers. 227: παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ' ἐκύρωσας φίτιν.

Theogn. 87: μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλας. 860: πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω.

Hom. Od. 2, 123: βίοτόν τε τεὸν καὶ κτήματ' ἔδονται. 19, 406: γαμβρὸς ἐμὸς θυγάτηρ τε (12).

Il. 2, 136: ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα. 6, 211: ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι. 9, 466: πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς. But 11, 244–5: πρῶθ' ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλι' ὑπέστη, | αἶγας ὁμοῦ καὶ ὄις, τά οἱ ἄσπετα ποιμαίνοντο, χίλι(α) agrees with μῆλα understood, which becomes more evident by comparing Od. 9, 183–4: ἔνθα δὲ πολλὰ | μῆλ', ὄιές τε καὶ αἶγες, ἰαύεσκον. 13, 287: οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο (78). 14, 73: ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.

504. Repetition of the Common Attribute. — The common attribute may be repeated for emphasis or rhetorical balance. So with καὶ . . . καί, μέν . . . δέ.

ᾤετο κτήσεσθαι ἐκ τούτων ὄνομα μέγα καὶ δύναμιν μεγάλην, Xen. An. 2, 6, 17; *He thought that he should acquire from this a great name and great power.* **ἐξωπλίζετο** (sc. **ὁ στρατός**) **πολλοῖς μὲν καὶ καλοῖς χιτῶσι, πολλοῖς δὲ καὶ καλοῖς θώραξι καὶ κράνεσιν,** Cyr. 6, 4, 1; *The army accoutred itself with many fine tunics, many fine corselets and helmets.*

Dem. 18, 27: πολλῶν μὲν χρημάτων, πολλῶν δὲ στρατιωτῶν εὐπορήσας. 19, 226: τοσαύτην κωφότητα καὶ τοσοῦτο σκότος. 227: ἓν . . . σῶμ' ἔχων καὶ ψυχὴν μίαν. Cf. 22, 66 (= 24, 173): πολλῶν μὲν στρατηγῶν ἠδικηκότων τὴν πόλιν, πολλῶν δὲ ῥητόρων.

PLATO, Cratyl. 436 D: δεῖ δὴ περὶ τῆς ἀρχῆς παντὸς πράγματος παντὶ ἀνδρὶ τὸν πολὺν λόγον εἶναι καὶ τὴν πολλὴν σκέψιν.

XEN. An. 2, 6, 17 (see above). Conv. 4, 47: πᾶσαι . . . αἱ πόλεις καὶ πάντα τὰ ἔθνη. Cyr. 1, 5, 9: πολὺν μὲν ὄλβον, πολλὴν δὲ εὐδαιμονίαν. 6, 4, 1 (see above).

THUC. 6, 20, 4: πολλοὶ μὲν γὰρ ὁπλῖται ἔνεισι καὶ τοξόται καὶ ἀκοντισταί, πολλαὶ δὲ τριήρεις καὶ ὅχλος ὁ πληρώσων αὐτάς.

HDT. 5, 30: ἔχων στρατιήν τε πολλὴν καὶ πολλὰς νέας. 47: συνέσπετο οἰκηίῃ τε τριήρεϊ καὶ οἰκηίῃ ἀνδρῶν δαπάνῃ.

SOPH. El. 87–90: ὥς μοι | πολλὰς μὲν θρήνων ᾠδάς, | πολλὰς δ' ἀντήρεις ἤσθου | στέρνων πληγάς.

AESCHYL. Suppl. 1006–7: πρὸς ταῦτα μὴ πάθωμεν ὧν πολὺς πόνος, | πολὺς δὲ πόντος οὔνεκ' ἠρόθη δορί.

THEOGN. 1051–2: μή ποτ' ἐπειγόμενος πρήξῃς χρέος, ἀλλὰ βαθείῃ | σῇ φρενὶ βούλευσαι σῷ ἀγαθῷ τε νόῳ.

HOM. Od. 11, 202–3: ἀλλά με σός τε πόθος σά τε μήδεα, φαίδιμ' Ὀδυσσεῦ, σή τ' ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα (473).

505. POSITION OF THE ADJECTIVE ATTRIBUTE. — The adjective attribute precedes the substantive. This, which is the original position, so often yields to rhythmical and rhetorical considerations that a sharp difference between the order, attribute and substantive, and the order, substantive and attribute, cannot be formulated.

μικρᾶς ζημίας ἀξίους. LYS. 1, 3; *Deserving* [*only*] *a* SLIGHT *penalty*. **οἰκονόμος δεινή**, *Ibid.* 7; *A clever* HOUSEKEEPER. **ἓν . . . σῶμ' ἔχων καὶ ψυχὴν μίαν**, DEM. 19, 227; *Having* (*but*) ONE *body and* ONE *soul* (504, chiasm). **ἐπέων ματαίων**, HDT. 7, 11, but **μάταια ἔπεα**, 15. **λόγον οὐδένα ἐποιέετο**, HDT. 7, 13, but **ἐν οὐδενὶ λόγῳ ποιήσεται**, 16. **εἷς ἀνὴρ οὐδεὶς ἀνήρ**, PROV.

DEM. 8, 28: μικρόν, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν πινάκιον ταῦτα πάντ' ἐπισχεῖν δύναιτ' ἄν. 15, 23: βάρβαρον ἄνθρωπον (31). 18, 20: πόλεμον συνεχῆ καὶ μακρὸν πολεμούντων ὑμῶν . . . οὔτε χρήμασιν οὔτε σώμασιν . . . συνελάμβανον (plural) ὑμῖν. 22: μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων. 30: τρεῖς ὅλους μῆνας . . . ἡμερῶν δέκα, ἴσως δὲ τριῶν ἢ τεττάρων. 34: λόγον οὐδέν(α). 44: δυνάμεις πολλὰς καὶ μεγάλας. 19, 196: Ὀλυνθίαν γυναῖκα (31). 19, 227 (see above). 23, 75: δύο προσθῆκαι (111). 31, 7: ὀγδοήκοντα ναῦ (124).

ISOC. 7, 46: δύο τρόποι (111).

ISAE. 8, 7: ἐξ ἧς αὐτῷ ἐγιγνέσθην υἱεῖς δύο (110).

LYS. 1, 3 (see above). *Ibid.* 7: οἰκίδιον . . . διπλοῦν. 10: πολὺν χρόνον. 22: ἡμέραι τέσσαρες ἢ πέντε. 12, 11: τετρακοσίους κυζικηνούς (32). 13, 37: δύο δὲ τράπεζαι. 32, 6: τριάκοντα στατῆρας Κυζικηνούς (32).

ANTIPHON, 1, 14: ἀνὴρ καλός τε καὶ ἀγαθός (31). 2, δ, 5: θερμὸν καὶ

ἀνδρεῖον ἄνθρωπον (31). 5, 91: ἐν . . . ἀκεστῷ πράγματι (78). 6, 42: δύο μῆνες (111).

PLATO, Gorg. 470 C: φίλον ἄνδρα (31). Legg. 846 D: ἀνδρὸς ἐπιχωρίου (31). Menex. 247 D: θνητῷ ἀνδρί (31). Phaedr. 227 A: ὦ φίλε Φαῖδρε (17). *Ibid.* D: ὦ βέλτιστε Σώκρατες (17). Protag. 316 B: οἰκίας μεγάλης τε καὶ εὐδαίμονος. *Ibid.* C: ξένον ἄνδρα (31). Rpb. 331 C: φίλου ἀνδρός (31). 334 A: ὅτου τις ἄρα δεινὸς φύλαξ, τούτου καὶ φὼρ δεινός (Chiasm. Cf. *ibid.*: εἰ ἄρα ὁ δίκαιος ἀργύριον δεινὸς φυλάττειν, καὶ κλέπτειν δεινός). 343 D: δίκαιος ἀνὴρ ἀδίκου πανταχοῦ ἔλαττον ἔχει. 353 E: ἀνάγκη ἄρα κακῇ ψυχῇ κακῶς ἄρχειν. Soph. 230 C: ὦ παῖ φίλε (17).

XEN. An. 1, 7, 10: ἀριθμὸς ἐγένετο τῶν μὲν Ἑλλήνων ἀσπὶς μυρία καὶ τετρακοσία (56). 2, 2, 12: δύο ἢ τριῶν ἡμερῶν. 17: κραυγὴν πολλήν. 2, 3, 14: ἐνῆν δὲ σῖτος πολὺς καὶ οἶνος φοινίκων. 6, 4, 23: εἰς δισχιλίους ἀνθρώπους (27). Cyr. 1, 5, 9: πολὺν μὲν ὄλβον, πολλὴν δὲ εὐδαιμονίαν, μεγάλας δὲ τιμάς. Oec. 21, 8: μεγάλῃ χειρί (56).

THUC. 3, 20, 2: ἐς δὲ ἄνδρας διακοσίους καὶ εἴκοσι (27). 3, 82, 4: τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρία φιλέταιρος ἐνομίσθη (65). 96, 3: πολλῇ χειρί (56). 4, 16, 1: δύο χοίνικας (47). 6, 22: πεφρυγμένας κριθάς (47).

HDT. 1, 80: πολλῇ χειρί (56). 195: ἐσθῆτι δὲ τοιῇδε χρέωνται, κιθῶνι ποδηνεκέι λινέῳ (after), καὶ ἐπὶ τοῦτον ἄλλον εἰρίνεον (before) κιθῶνα ἐπενδύνει (78). 3, 53: χρῆμα σφαλερόν (40). 5, 30: πυνθάνομαι γὰρ ὀκτακισχιλίην ἀσπίδα (56) Ναξίοισι εἶναι καὶ πλοῖα μακρὰ πολλά. *Ibid.*: ἔχων στρατιήν τε πολλὴν καὶ πολλὰς νέας (504). 64: ὑπὲρ τεσσεράκοντα ἄνδρας (27). 96: πᾶν χρῆμα (40). 7, 8, γ): δούλιον ζυγόν. 11 (see above). 13: λόγον οὐδένα . . . οὐδένα χρόνον. 15 (see above). 16, γ) (see above). 41: χίλιοι μὲν . . . ῥοιὰς εἶχον χρυσέας . . . οἱ δὲ εἰνακισχίλιοι . . . ἀργυρέας ῥοιὰς εἶχον.

AR. Ach. 74–5: ἐξ ὑαλίνων ἐκπωμάτων καὶ χρυσίδων | ἄκρατον οἶνον ἡδύν. 80: ἔτει τετάρτῳ. 82: ὀκτὼ μῆνας . . . χρυσῶν ὀρῶν. 197: σιτί' ἡμερῶν τριῶν. Av. 626: πυροὺς ὀλίγους (47). Lys. 511: μέγα πρᾶγμα (40). 1099: ταχεῖ πεδίλῳ.

EUR. Heracl. 275–6: πολλὴν . . . αἰχμήν (56). 337: πολλῇ . . . χειρί (56). Hipp. 11: Ἱππόλυτος, ἁγνοῦ Πιτθέως παιδεύματα (52). Ion, 192: χρυσέαις ἅρπαις (52). I. A. 78: ὅρκους παλαιούς. 315: ἐκ χερῶν ἐμῶν. I. T. 365: νυμφεύματ' αἰσχρά. Or. 70: ἄπορον χρῆμα (40). Phoen. 78: πολλὴν . . . ἀσπίδ(α) (56). fr. 243: ὀλίγον ἄλκιμον δόρυ (56).

SOPH. Ai. 231: κελαινοῖς ξίφεσιν (52). Ant. 650: ψυχρὸν παραγκάλισμα (41). Tr. 491–2: κοὔτοι νόσον γ' ἑπακτὸν ἐξαρούμεθα | θεοῖσι δυσμαχοῦντες (55).

AESCHYL. Ag. 1041: δουλίας μάζης. 1257: Λύκει' Ἄπολλον (24). Cho. 1028: πατροκτόνον μίασμα. P. V. 88–90: ὦ δῖος αἰθὴρ καὶ ταχύπτεροι πνοαί, | ποταμῶν τε πηγαὶ ποντίων τε κυμάτων | ἀνήριθμον γέλασμα, παμμῆτόρ τε γῆ (12). 210: πολλῶν ὀνομάτων μορφὴ μία. 329: γλώσσῃ ματαίᾳ ζημία προστρίβεται.

PIND. O. 7, 19: Ἀργείᾳ σὺν αἰχμᾷ (56). P. 1, 19: στέρνα λαχνάεντα (50). 4, 1: παρ' ἀνδρὶ φίλῳ (31). 9, 6: ἕνεκέ τε χρυσέῳ παρθένον ἀγροτέραν δίφρῳ.

ARCHIL. 4, 3: ἄγρει δ' οἶνον ἐρυθρὸν ἀπὸ τρυγός. 9, 3: πολυφλοίσβοιο θαλάσσης. 5: ἀνηκέστοισι κακοῖσιν. 6: κρατερὴν τλημοσύνην. 8: αἱματόεν δ' ἕλκος. 10: γυναικεῖον πένθος. 11, 1: πολιῆς ἁλός. 2: γλυκερὸν νόστον. 12, 1: χαρίεντα μέλεα, etc. 21, 2: ὕλης ἀγρίης.

HOM. Od. 11, 61: ἅσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος (473). 323: Ἀθηνάων ἱεράων (49). 12, 341: δειλοῖσι βροτοῖσι (45). 24, 249: ἀγαθὴ κομιδή. 286: ξενίῃ ἀγαθῇ.

Il. 1, 418: κακῇ αἴσῃ. 2, 235: κάκ' ἐλέγχε(α) (41). 3, 17: καμπύλα τόξα (52). 108: ὁπλοτέρων ἀνδρῶν (31). 14, 238: καλὸν θρόνον (52). 16, 3: δάκρυα θερμὰ χέων ὥς τε κρήνη μελάνυδρος. For details of Homeric usage, see La Roche, W. St., xix (1897), pp. 161–88.

506. SEPARATION OF ATTRIBUTE FROM SUBSTANTIVE. — The attribute may be separated from its substantive by one or more words.

Removal often increases the emphasis, the mind being thus forced to recall or await the substantive. So numerals are often put at a distance as if for the convenience of adding. The interval is seldom excessive in prose. In poetry, on the other hand, it is sometimes very considerable, and sometimes the conception seems rather predicative than attributive, but the rhythm aids in bridging the chasm. The beginnings of verses are really near. So PIND. O. 6, 1–2, cited below. But compare P. 9, 5–6, O. 11, 19–21 (both cited below), and especially O. 12, 5–6, and see the editor's notes on those passages.

πλεονέκτημ' ἄνδρες Ἀθηναῖοι μέγ' ὑπῆρξεν Φιλίππῳ, DEM. 18, 60; *An advantage, a great advantage did Philip have to start with.* **ἔδοξαν πολεμίους ὁρᾶν ἱππέας,** XEN. An. 2, 2, 14.

DEM. 1, 1: ἀντὶ πολλῶν ἂν ὦ ἄνδρες Ἀθηναῖοι χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ κτέ. 18, 60 (see above).

LYS. 1, 22: μεγάλοις ὑμῖν τεκμηρίοις ἐπιδείξω.

PLATO, Gorg. 448 E: ἐρομένου Χαιρεφῶντος τίνος Γοργίας ἐπιστήμων τέχνης. 449 C–D: ῥητορικῆς γὰρ φὴς ἐπιστήμων τέχνης εἶναι. 453 D: καὶ ἄλλοι εἰσὶ ζωγράφοι. Ion, 534 B: κοῦφον γὰρ χρῆμα ποιητής ἐστι (40).

XEN. An. 2, 1, 19: μηδεμία σωτηρίας ἐστὶν ἐλπίς. 2, 2, 12: ὀλίγῳ μὲν γὰρ στρατεύματι οὐ τολμήσει ἐφέπεσθαι· πολὺν δ' ἔχων στόλον οὐ δυνήσεται ταχέως πορεύεσθαι. 2, 2, 14 (see above). Mem. 1, 2, 11: ἀλλὰ μὴν καὶ συμμάχων ὁ μὲν βιάζεσθαι τολμῶν δοίτ' ἂν οὐκ ὀλίγων.

THUC. 6, 20, 2: ἐπὶ γὰρ πόλεις, ὡς ἐγὼ ἀκοῇ αἰσθάνομαι, μέλλομεν ἰέναι μεγάλας. 25, 2: ὁπλίταις δὲ τοῖς ξύμπασιν Ἀθηναίων καὶ τῶν ξυμμάχων πεντακισχιλίων μὲν οὐκ ἐλάσσοσιν, ἦν δέ τι δύνωνται, καὶ πλείοσι.

HDT. 7, 2: τῶν παίδων αὐτοῦ στάσις ἐγένετο μεγάλη. 5: παρενθήκην ποιεέσκετο τήνδε, ὡς ἡ Εὐρώπη περικαλλὴς εἴη χώρη. 13: ὥστε ἀεικέστερα ἀπορρῖψαι ἔπεα. 14: ἐν οὐδενὶ ποιησάμενος λόγῳ.

AR. Ach. 109: σὺ μὲν ἀλαζὼν εἶ μέγας. 137: εἰ μισθόν γε μὴ 'φερες πολύν.

EUR. I. A. 313: μακροὺς δὲ δοῦλος ὢν λέγεις λόγους. I. T. 340–1: ὅστις ποτὲ | Ἕλληνος ἐκ γῆς πόντον ἦλθεν ἄξενον. 372–3: ἐγὼ δὲ λεπτῶν ὄμμα διὰ καλυμμάτων | ἔχουσ(α). Phoen. 441–2: μυρίαν ἄγων | λόγχην (56).

SOPH. El. 87–90: ὥς μοι | πολλὰς μὲν θρήνων ᾠδάς, | πολλὰς δ' ἀντήρεις ἤσθου | στέρνων πληγάς (504).

AESCHYL. Cho. 61–2: ῥοπὴ δ' ἐπίσκοπεῖ δίκας | ταχεῖα. 89–90: πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν | γυναικὸς ἀνδρί. 185–6: ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι | σταγόνες. 299: πολλοὶ γὰρ εἰς ἓν συμπίτνουσιν ἴμεροι.

PIND. O. 6, 1–2: χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου | κίονας. 11, 19–21: τὸ γὰρ | ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ | οὔτ' ἐρίβρομοι λέοντες διαλλάξαντο ϝῆθος. P. 9, 5–6: τὰν ὁ χαιτάεις ἀνεμοσφαράγων ἐκ Παλίου κόλπων ποτὲ Λατοΐδας | ἅρπασ(ε). 12, 16: εὐπαρᾴου κρᾶτα συλάσαις Μεδοίσας. 24: εὐκλεᾶ λαοσσόων μναστῆρ' ἀγώνων. 26: παρὰ καλλίχορον ναίοισι πόλιν. N. 8, 2: παρθενηΐοις παίδων τ' ἐφίζοισα γλεφάροις.

THEOGN. 43: οὐδεμίαν πω, Κύρν', ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες. 64–5: χρῆμα δὲ συμμίξῃς μηδενὶ μηδ' ὁτιοῦν | σπουδαῖον. 811: χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέος οὔτι κάκιον.

ARCHIL. 4, 1–2: ἀλλ' ἄγε, σὺν κώθωνι θοῆς διὰ σέλματα νηὸς | φοίτα καὶ κοίλων πώματ' ἄφελκε κάδων. 9, 1: κήδεα μὲν στονόεντα. 25, 3: μεγάλης δ' οὐκ ἐρέω τυραννίδος.

HES. O. et D. 178: χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας.

HOM. Od. 3, 161: ἔριν ὦρσε κακήν. 9, 12–3: σοὶ δ' ἐμὰ κήδεα θυμὸς ἐπετράπετο στονόεντα | εἴρεσθ(αι). 9, 116–9: νῆσος ἔπειτ' ἐλαχεῖα παρὲκ λιμένος τετάνυσται, | γαίης Κυκλώπων οὔτε σχεδὸν οὔτ' ἄπο τηλοῦ, | ὑλήεσσ' (rather felt predicatively than attributively) · ἓν δ' αἶγες ἀπειρέσιαι γεγάασιν | ἄγριαι. 9, 132–3: ἓν μὲν γὰρ λειμῶνες ἁλὸς πολιοῖο παρ' ὄχθας | ὑδρηλοὶ μαλακοί.

Il. 7, 251: δὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος. 264–5: ἀλλ' ἀναχασσάμενος λίθον εἵλετο χειρὶ παχείῃ | κείμενον ἐν πεδίῳ μέλανα, τρηχύν τε μέγαν τε (the three adjectives are predicative rather than attributive). 299: δῶρα δ' ἄγ' ἀλλήλοισι περικλυτὰ δώομεν ἄμφω.

507. POSITION OF ADJECTIVES USED PARTITIVELY. — Adjectives used partitively regularly precede.

περὶ μέσας νύκτας, XEN. An. 1, 7, 1; *About midnight.*

AESCHIN. 2, 75: διὰ μέσης Πελοποννήσου πολεμίας οὔσης ἀδεῶς διεξῄει.

PLATO, Lach. 183 B: τὴν μὲν Λακεδαίμονα . . . οἰδὲ ἄκρῳ ποδὶ ἐπιβαίνοντας. Rpb. 621 B: μέσας νύκτας γενέσθαι (47).

XEN. An. 1, 7, 1 (=7, 8, 12) (see above). 2, 2, 8 (=7, 3, 40): ἀμφὶ μέσας νύκτας.

THUC. 2, 49, 8: ἐς ἄκρας χεῖρας καὶ πόδας (503). 8, 101, 3: πρῴτερον μέσων νυκτῶν.

HDT. 1, 24: ἐς μέσην νέα. 2, 17: ὁ γὰρ δὴ Νεῖλος . . . ῥέει μέσην Αἴγυπτον σχίζων ἐς θάλασσαν. 33: μέσην τάμνων Λιβύην. 7, 58: διὰ μέσης δὲ πορευόμενος πόλιος. 72: ἐς μέσην κνήμην. 8, 12: μέσον θέρος.

AR. Vesp. 218: ἀπὸ μέσων νυκτῶν. Thesm. 1099: διὰ μέσου γὰρ αἰθέρος. But fr. 2, 1171: χειμῶνος μέσου.

COM. Eubul. 3, 259: πηδῶσι δ' ἰχθῦς ἐν μέσοισι τηγάνοις.

EUR. El. 840: ὄνυχας ἐπ' ἄκρους στάς (adjective follows). I. T. 49: βεβλημένον πρὸς οὖδας ἐξ ἄκρων σταθμῶν. 266: ἄκροισι δακτύλοισι. 283: ὠλένας τρέμων ἄκρας (adjective follows). 297: μόσχους ὀρούσας εἰς μέσας (adjective follows).

SOPH. Ai. 238: γλῶσσαν ἄκραν (adjective follows). 285: ἄκρας νυκτός. Ant. 415–6: ἐν αἰθέρι | μέσῳ (adjective follows). El. 748: εἰς μέσον δρόμον. 1476: ἐν μέσοις ἀρκυστάτοις. O. R. 808–9: μέσον | κάρα. 812: μέσης ἀπήνης . . . ἐκκυλίνδεται. Ph. 748: πάταξον εἰς ἄκρον πόδα. 824: ἄκρου . . . ποδός. Tr. 564: ἡνίκ' ἢ μέσῳ πόρῳ. 781–2: μέσου | κρατός. 803: ἐν μέσῳ σκάφει.

AESCHYL. Ag. 1594: χερῶν ἄκρους κτένας. Eum. 112: ἐκ μέσων ἀρκυστάτων. Pers. 196: ζυγὸν θραύειν μέσον (*in the middle*). Sept. 389: ἐν μέσῳ σάκει. fr. 169: ἄκρον κάρα.

THEOGN. 265: μέσην περὶ παῖδα. 447: κεφαλῆς . . . ἀπ' ἄκρης.

MIMNER. 12, 7: ἄκρον ἐφ' ὕδωρ.

HOM. Il. 7, 246: ἀκρότατον κατὰ χαλκόν. 258: μέσον σάκος οὔτασε δουρί. But 7, 266–7: τῷ βάλεν Αἴαντος δεινὸν σάκος ἑπταβόειον | μέσσον ἐπομφάλιον.

508. POSITION OF COMMON ATTRIBUTE. — When the attribute belongs to two or more words, it is generally put before them all, sometimes after them all, sometimes after the first, occasionally after one of the intermediate substantives.

πολλαὶ κριθαὶ καὶ πυροί, XEN. An. 7, 1, 13; *Much barley and wheat* (503). χρυσὸν γὰρ καὶ ἄργυρον πλεῖστον κέκτηνται, THUC. 6, 34, 2. τοξότας πολλοὺς καὶ σφενδονήτας, THUC. 6, 22. βόες δὲ καὶ ὄνοι πολλοὶ καὶ πρόβατα, XEN. An. 4, 7, 14.

509. a. *Before all:*

DEM. 2, 2: τῶν . . . παρασκευασθέντων συμμάχων καὶ τόπων. 14: ἡ Μακεδονικὴ δύναμις καὶ ἀρχή. 18, 18: ἀλλά τις ἦν ἄκριτος . . . ἔρις καὶ

ταραχή. 34: πάσαις . . . αἰτίαις καὶ βλασφημίαις. 68: ἐν πᾶσι καὶ λόγοις καὶ θεωρήμασι. 112: τοσαύτης ἀδικίας καὶ μισανθρωπίας. 19, 1: μηδεμίαν μήτε χάριν μήτ' ἄνδρα (503). 25, 68: τῶν ὑπαρχόντων νόμων καὶ πολιτείας (503).

Lys. [6], 47: ἐξ ὅσων κακῶν καὶ πολέμου (503).

Plato, Rpb. 329 C: πολλὴ εἰρήνη γίγνεται καὶ ἐλευθερία. 459 C: συχνῷ τῷ ψεύδει καὶ τῇ ἀπάτῃ (503). 543 D: καλλίω . . . πόλιν τε καὶ ἄνδρα.

Xen. An. 6, 6, 38: μίαν ἡμέραν καὶ νύκτα. 7, 1, 13 (508). Cyr. 6, 4, 1: πολλοῖς δὲ καὶ καλοῖς θώραξι καὶ κράνεσιν (504).

Thuc. 1, 102, 4: οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία (503). 2, 49, 8: ἐς ἄκρας χεῖρας καὶ πόδας (503).

Ar. Lys. 1134: Ἕλληνας ἄνδρας καὶ πόλεις ἀπόλλυτε (503). Ran. 470–2: τοία Στυγός σε μελανοκάρδιος πέτρα | Ἀχερόντιός τε σκόπελος . . . | φρουροῦσι, Κωκυτοῦ τε περίδρομοι κύνες (503).

Soph. O. C. 350: πολλοῖσι δ' ὄμβροις ἡλίου τε καύμασιν.

Hom. Il. 2, 136: ἠμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα (503). 6, 211: ταύτης τοι γενεῆς τε καὶ αἵματος (*ibid.*). 9, 466 (*ibid.*). 13, 287 (*ibid.*).

510. b. *After all:*

Lys. 13, 95: μηδαμῶς . . . μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ θάνατον ἐκείνων τῶν ἀνδρῶν καταψηφίσησθε (503).

Andoc. 1, 6: ἐγὼ δὲ μετὰ δέους καὶ κινδύνου καὶ διαβολῆς τῆς μεγίστης τὴν ἀπολογίαν ποιοῦμαι.

Plato, Legg. 838 A: ὅταν ἀδελφὸς ἢ ἀδελφὴ τῷ γένωνται καλοί (4 Sc.).

Xen. An. 1, 5, 6: ὁ δὲ σίγλος δύναται ἑπτὰ ὀβολοὺς καὶ ἡμιωβόλιον Ἀττικούς (503).

Thuc. 6, 34, 2: χρυσὸν γὰρ καὶ ἄργυρον πλεῖστον κέκτηνται (508).

Aeschyl. Eum. 437–8: λέξας δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς | τὰς σάς (503). Pers. 227: παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ' ἐκύρωσας φάτιν (503).

Theogn. 87: μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλας (503).

511. *After the first:*

Dem. 18, 271: δεινὰ πεπόνθασι . . . καὶ πόλεις ὅλαι καὶ ἔθνη (503).

Xen. An. 2, 4, 27: ἐνῆν δὲ σῖτος πολὺς καὶ πρόβατα καὶ ἄλλα χρήματα (503).

Thuc. 6, 22: τοξότας πολλοὺς καὶ σφενδονήτας. 49, 4: οὔτε πλοῦν πολὺν οὔτε ὁδόν (503).

Hdt. 3, 82: δήμου τε ἀρίστου καὶ ὀλιγαρχίης καὶ μουνάρχου (503). 5, 31: χρήματα δὲ ἔνι πολλὰ καὶ ἀνδράποδα.

Hom. Od. 2, 123: βίοτόν τε τεὸν καὶ κτήματ' ἔδονται (503). 19, 406: γαμβρὸς ἐμὸς θυγάτηρ τε (503).

512. *After one of the intermediate substantives:*

XEN. An. 4, 7, 14: ἐντεῦθεν ἄνθρωποι μὲν πάνυ ὀλίγοι ἐλήφθησαν, βόες δὲ καὶ ὄνοι πολλοὶ καὶ πρόβατα. Mem. 1, 1, 14: τοὺς δὲ καὶ λίθους καὶ ξύλα τὰ τυχόντα καὶ θηρία σέβεσθαι.

PECULIAR FORMS OF THE ADJECTIVE ATTRIBUTE

513. The demonstrative and other adjective pronouns present important peculiarities. Of these pronouns the most common is the article.

The Article

514. The function of the article, which was originally a demonstrative, and always has more or less demonstrative force, is to fix a floating adjective or substantive. In the earlier stages of the language ἵππος means '*the* horse' (literally 'the swift one')[1] as well as '*a* horse,' and we have an implicit article as well as an explicit article (ὁ, ἡ, τό). This implicit article served at first as particular or generic. Afterwards the particular use required the reinforcement of the explicit article, but in the generic use the employment of the explicit article was optional. Particular: (ἄνθρωπος), ὁ ἄνθρωπος *the man*; generic: ἄνθρωπος, ὁ ἄνθρωπος, *man*.

Proper names being in their nature particular do not require the [illegible]t article, and when the article is used with them, it retains much of its original demonstrative force.

It is impossible to draw a sharp line of demarcation between the uses of the attributive article at different stages. The Homeric demonstrative use passes over into the articular use, and the Attic articular use approaches the Homeric demonstrative use. In the one case we have the germ of a new life; in the other, the survival of the old. To the Attic the Homeric ὁ γέρων could hardly have been distinguishable from the everyday ὁ γέρων of prose. Much depends on the position in the verse. Sometimes there may be apposition, sometimes the article may be used for contrast. When Pindar said ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσός, the verse brings out the pause, the feeling of antithesis. We say that there is no articular infinitive in Homer, because in the only apparent example, Od. 20, 52: ἀνίη καὶ τὸ φυλάσσειν, the appositional explanation brings the passage in line with the use elsewhere (Od. 1, 370; 11, 358–9) and with the later use of τοῦτο, which is the demonstrative article 'writ large' (PLATO, Gorg. 449 C).

In the older language and in the higher poetry that follows the older norm the article proper is not so much used as in Attic prose and as in comic poetry, which approaches the language of everyday life. Homer gives the norm, which

[1] But cf. A. J. P. xxiii (1902), 22. Oertel, Study of Language, p. 306.

is followed closely by Pindar. The lyric parts of tragedy are more anarthrous than the dialogue. The dialogue of comedy differs decidedly from that of tragedy in this respect. Old phrases, especially prepositional phrases, retain in the heyday of Attic their anarthrous forms. Dialects vary, and the Doric is said to have affected the hearty homely article. See the Lacedaemonian chorus in the Lysistrate. Authors vary, and whereas some eschew the article with proper names or use it gingerly, others, like Plato, are exceedingly free with it. On the other hand, the familiar use of the article has led to exactness and finesse, and the subtle variations in the employment of it add a special charm to Attic prose.[1]

The substantive use of the article is in Attic prose a survival, and is found chiefly in fixed phrases and certain old-fashioned turns of expression.

Substantive Use

515. **ὁ μὲν . . . ὁ δέ, ὁ μὲν . . . δέ, μὲν . . . ὁ δέ.** — Very common is *ὁ μὲν . . . ὁ δέ*, now used with definite reference to persons or things mentioned, *the one . . . the other, the former . . . the latter, the latter . . . the former*, now used indefinitely simply in contrast to each other. One or the other (more commonly the latter) of the two articles may also be replaced by a substantive or a pronoun.

Here belong also the adverbial uses of the article *τὸ (τὰ) μὲν . . . τὸ (τὰ) δέ, τῇ μὲν . . . τῇ δέ.*

μὴ γὰρ οἴεσθ(ε) . . . τοῖς αὐτοῖς Φίλιππόν τε χαίρειν καὶ τοὺς ἀρχομένους, ἀλλ' ὁ μὲν (*the former*) δόξης ἐπιθυμεῖ . . . τοῖς δὲ (*the latter*) τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ τούτων οὐ μέτεστι, DEM. 2, 15–6. φημὶ τοίνυν ἐγὼ . . . κάλλιον Κόνωνα τὰ τείχη στῆσαι Θεμιστοκλέους· ὁ μὲν (*the latter*) γὰρ λαθών, ὁ δὲ (*the former*) νικήσας τοὺς κωλύσοντας αὖτ' ἐποίησεν, DEM. 20, 74. ἐν δὲ ταῖς μεγάλαις πόλεσι . . . ἀρκεῖ καὶ μία ἑκάστῳ τέχνη εἰς τὸ τρέφεσθαι· πολλάκις δὲ οὐδ' ὅλη μία· ἀλλ' ὑποδήματα ποιεῖ ὁ μὲν ἀνδρεῖα, ὁ δὲ γυναικεῖα, XEN. Cyr. 8, 2, 5 (indefinite use). ταῦτα συνθέμενοι οἱ μὲν ἐπορεύοντο . . . Ξενοφῶν δὲ . . . ἠγεῖτο πρὸς τὴν φανερὰν ἔκβασιν, XEN. An. 4, 2, 2. μετὰ ταῦτα Ξενοφῶν μὲν ἠγεῖτο, οἱ δ' εἵποντο, *Ibid.* 7, 3, 7. ὑμεῖς μὲν . . . πάσας ἐξελύσατε τὰς παρασκευὰς τὰς τοῦ πολέμου, ὁ δὲ τοῦτ' ἐκ παντὸς τοῦ χρόνου μάλιστ' ἐπραγματεύετο, DEM. 18, 26.

DEM. 1, 13: τοὺς μὲν ἐκβαλών, τοὺς δὲ καταστήσας τῶν βασιλέων ἠσθένησε. 2, 3: ὃ μὲν γὰρ . . . θαυμαστότερος παρὰ πᾶσιν νομίζεται· ὑμεῖς δ(ὲ) . . . πλείων' αἰσχύνην ὠφλήκατε. 15–6 (see above). 9, 61. 64. 18, 26 (see above). 20, 74 (see above).

PLATO, Conv. 211 A: τῇ μὲν καλόν, τῇ δ' αἰσχρόν. Rpb. 338 D: τῶν πόλεων αἱ μὲν τυραννοῦνται, αἱ δὲ δημοκρατοῦνται, αἱ δὲ ἀριστοκρατοῦνται.

[1] Cf. A. J. P. xxiii (1902), 121.

369 D: γεωργὸς μὲν εἷς, ὁ δὲ οἰκοδόμος, ἄλλος δέ τις ὑφάντης. Theaet. 152 B: ἆρ' οὐκ ἐνίοτε πνέοντος ἀνέμου τοῦ αὐτοῦ ὁ μὲν ἡμῶν ῥιγοῖ, ὁ δ' οὔ; καὶ ὁ μὲν ἠρέμα, ὁ δὲ σφόδρα;

Xen. An. 4, 1, 14: τὰ μέν τι μαχόμενοι, τὰ δέ τι ἀναπαυόμενοι. 4, 2, 2 (see above). 5: καὶ τοὺς μὲν κατακανόντες τοὺς δὲ καταδιώξαντες αὐτοὶ ἐνταῦθ' ἔμενον. 4, 6, 23: Χειρίσοφος μὲν . . . ἦγε κατὰ τὴν ὁδόν, οἱ δὲ . . . κατὰ τὰ ἄκρα ἐπῆσαν. 4, 8, 10: τῇ μὲν γὰρ ἄνοδον, τῇ δὲ εὔοδον εὑρήσομεν τὸ ὄρος. 5, 6, 24: τὰ μὲν (*partly*) διὰ τὸ ἐκεῖθεν εἶναι, τὰ δὲ (*partly*) διὰ τὸ συνεστρατεῦσθαι ἐν αὐτῇ σὺν Κλεάρχῳ. 6, 3, 7: οἱ μὲν γὰρ Ἕλληνες . . . οἱ δέ. 7, 3, 7 (see above). Cyr. 8, 2, 5 (see above). Hell. 1, 1, 5: καὶ τὰ μὲν νικώντων, τὰ δὲ νικωμένων (sc. τῶν Ἀθηναίων), Ἀλκιβιάδης ἐπεισπλεῖ δυοῖν δεούσαις εἴκοσι ναυσίν.

Thuc. 3, 37, 3–4: οἵ τε φαυλότεροι τῶν ἀνθρώπων πρὸς τοὺς ξυνετωτέρους ὡς ἐπὶ τὸ πλεῖον ἄμεινον οἰκοῦσι τὰς πόλεις. οἱ μὲν (*the latter*) γὰρ τῶν τε νόμων σοφώτεροι βούλονται φαίνεσθαι . . . οἱ δ(ὲ) (*the former*) . . . ἀμαθέστεροι . . . τῶν νόμων ἀξιοῦσιν εἶναι. 4, 76, 5: τῶν Ἀθηναίων μὲν προσιόντων τοῖς ἀφεστηκόσι, τοῖς δὲ (sc. τοῖς Βοιωτοῖς) οὐκ οὔσης ἁθρόας τῆς δυνάμεως. 4, 106, 3: καὶ οἱ μὲν τὴν πόλιν τοιούτῳ τρόπῳ παρέδοσαν, ὁ δὲ Θουκυδίδης καὶ αἱ νῆες ταύτῃ τῇ ἡμέρᾳ ὀψὲ κατέπλεον ἐς τὴν Ἱόνα. 107, 1–2: μετὰ δὲ τοῦτο ὁ μὲν (sc. Θουκυδίδης) τὰ ἐν τῇ Ἱόνι καθίστατο . . . ὁ δὲ (sc. Βρασίδας) . . . τὰ . . . περὶ τὴν Ἀμφίπολιν ἐξηρτύετο. 8, 47, 2: τὰ μὲν καὶ Ἀλκιβιάδου προσπέμψαντος λόγους . . . τὸ δὲ πλέον καὶ ἀπὸ σφῶν αὐτῶν.

Hdt. 1, 173: νόμοισι δὲ τὰ μὲν Κρητικοῖσι, τὰ δὲ Καρικοῖσι χρέωνται. 6, 69: ὁ μὲν δὴ τοιαῦτα ἔλεγε, ἣ δὲ ἀμείβετο τοισίδε. *Ibid.*: καὶ τὸ μὲν (sc. φάσμα) οἰχώκεε, ἦκε δὲ μετὰ ταῦτα Ἀρίστων. 70: ἣ μὲν δὴ ταῦτα ἔλεγε, ὁ δὲ . . . ἐπορεύετο ἐς Ἦλιν.

Ar. Vesp. 564–7: οἱ μέν γ' ἀποκλάονται πενίαν αὐτῶν . . . οἱ δὲ λέγουσιν μύθους ἡμῖν, οἱ δ' Αἰσώπου τι γέλοιον· | οἱ δὲ σκώπτουσ(ι). Lys. 17–9: ἣ μὲν γὰρ ἡμῶν περὶ τὸν ἄνδρ' ἐκύπτασεν, | ἣ δ' οἰκέτην ἤγειρεν, ἣ δὲ παιδίον | κατέκλινεν, ἣ δ' ἔλουσεν, ἣ δ' ἐψώμισεν.

Eur. El. 799–801: δμῶες πρὸς ἔργον πάντες ἵεσαν χέρας. | οἱ μὲν σφαγεῖον ἔφερον, οἱ δ' ἧρον κανᾶ, | ἄλλοι δὲ πῦρ ἀνῆπτον. 830: χὠ μὲν σκυθράζει, δεσπότης δ' ἀνιστορεῖ. Or. 356–7: ὦ δῶμα, τῇ μέν σ' ἡδέως προσδέρκομαι | . . . τῇ δ' ἰδὼν καταστένω.

Soph. Ai. 762–6: κεῖνος δ' . . . ἄνους καλῶς λέγοντος ηὑρέθη πατρός. | ὁ μὲν (*the latter*) γὰρ αὐτὸν ἐννέπει, τέκνον, κτέ. ὁ δ' (*the former*) ὑψικόμπως κἀφρόνως ἠμείψατο. Ant. 21–2: οὐ γὰρ τάφου νῷν τὼ κασιγνήτω Κρέων | τὸν μὲν προτίσας, τὸν δ' ἀτιμάσας ἔχει;

Aeschyl. Ag. 326–32: οἳ μὲν γὰρ . . . τοὺς δ(έ). Sept. 295–8: τοὶ μὲν . . . τοὶ δ(έ). 481–2: τῷ μὲν . . . τοῖσι δέ.

Pind. O. 13, 56–60: πρὸ Δαρδάνου τειχέων ἐδόκησαν | ἐπ' ἀμφότερα μαχᾶν τάμνειν τέλος, | τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος | Ἑλέναν κομίζοντες, οἱ δ' ἀπὸ πάμπαν | εἴργοντες. P. 12, 32: τὸ μὲν δώσει, τὸ δ' οὔπω.

THEOGN. 901–2: ἔστιν ὃ μὲν χείρων, ὃ δ' ἀμείνων ἔργον ἕκαστον· | οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.

PHOCYL. 3, 1–3: τετόρων ἀπὸ τῶνδε γίνοντο | φῦλα γυναικείων· ἣ μὲν κυνός, ἣ δὲ μελίσσης, | ἣ δὲ συὸς βλοσυρῆς, ἣ δ' ἵππου χαιτηέσσης.

SOLON, 13, 29: ἀλλ' ὃ μὲν αὐτίκ' ἔτεισεν, ὃ δ' ὕστερον.

SEMON. AMORG. 1, 11–8: φθάνει δὲ τὸν μὲν γῆρας ἄζηλον λαβόν, | . . . τοὺς δὲ δύστηνοι νόσοι | φθείρουσι θνητῶν· τοὺς δ' . . . οἳ δ(ὲ) . . . οἳ δ(ὲ) κτέ.

CALLIN. 1, 16–7: ἀλλ' ὃ μὲν οὐκ ἔμπης δήμῳ φίλος οὐδὲ ποθεινός, | τὸν δ' ὀλίγος στενάχει καὶ μέγας, ἤν τι πάθῃ (Generic).

HES. O. et D. 161–7: καὶ τοὺς μὲν . . . τοὺς μὲν . . . τοὺς δὲ . . . τοὺς μὲν . . . τοῖς δέ (*some — partly — partly — some, I say — the others*). Theog. 276–7: Σθεινώ τ' Εὐρυάλη τε Μέδουσά τε λυγρὰ παθοῦσα. | ἣ μὲν ἔην θνητή, αἳ δ' ἀθάνατοι καὶ ἀγήρῳ.

HOM. Od. 2, 6–8: αἶψα δὲ κηρύκεσσι λιγυφθόγγοισι κέλευσεν | κηρύσσειν ἀγορήνδε κάρη κομόωντας Ἀχαιούς. | οἳ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα. 6, 27–8: σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν | ἔννυσθαι, τὰ δὲ τοῖσι παρασχεῖν, οἵ κέ σ' ἄγωνται. 12, 73–101: οἱ δὲ δύω σκόπελοι ὃ μὲν οὐρανὸν εὐρὺν ἱκάνει | . . . τὸν δ' ἕτερον σκόπελον χθαμαλώτερον ὄψει, Ὀδυσσεῦ.

Il. 1, 312–3: οἳ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα, | λαοὺς δ' Ἀτρεΐδης ἀπολυμαίνεσθαι ἄνωγεν. 5, 27–8: ἴδον υἷε Δάρητος | τὸν μὲν ἀλευάμενον τὸν δὲ κτάμενον. 11, 472: ὣς εἰπὼν ὃ μὲν ἦρχ', ὃ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς. 16, 317–22: Νεστορίδαι δ' ὃ μὲν οὔτασ' Ἀτύμνιον ὀξέι δουρὶ | Ἀντίλοχος . . . Μάρις (brother of Atymnius) δ' αὐτοσχεδὰ δουρὶ | Ἀντιλόχῳ ἐπόρουσε . . . τοῦ δ' ἀντίθεος Θρασυμήδης (son of Nestor) ἔφθη ὀρεξάμενος πρὶν οὐτάσαι. 18, 593–7: ἠίθεοι καὶ παρθένοι . . . ὠρχεῦντ(ο) . . . τῶν δ' αἳ μὲν . . ., οἳ δὲ . . . καί ῥ' αἳ μὲν . . ., οἳ δὲ κτέ. 23, 1: ὣς οἳ μὲν στενάχοντο κατὰ πτόλιν· αὐτὰρ Ἀχαιοὶ κτέ. 3–4: οἳ μὲν . . . Μυρμιδόνας δ(έ).

516. SUBSTANTIVE ARTICLE PRECEDED BY **μέν** OR **δέ**. — Prepositions generally attract *μέν* and *δέ* and change the order. The same thing occurs in other contrasted groups.

ἐν μὲν ἄρα τοῖς συμφωνοῦμεν, ἐν δὲ τοῖς οὔ, PLATO, Phaedr. 263 B; *In some things we are in accord, in others not.* **οὐδὲ τἆλλα δύο ἢ τρία μιᾷ πόλει, ἀλλὰ τὸ μὲν τῇ τὸ δὲ τῇ**, XEN. [R.A.] 2, 12; *And so of everything else, two or three are not found together in one city, but one in one, another in another.*

DEM. 15, 10: ἀλλ' ὑπὲρ μὲν τῶν . . . μέχρι τοῦ δυνατοῦ πάντες πολεμοῦσιν, ὑπὲρ δὲ τοῦ πλεονεκτεῖν οὐχ οὕτως.

LYS. [2], 9: ὑπὲρ ἀμφοτέρων ἐκινδύνευσαν, ὑπὲρ μὲν τῶν, ἵνα μηκέτι . . . ἐξυβρίσωσιν, ὑπὲρ δὲ τῶν ἑτέρων, ἵνα μὴ κτέ.

PLATO, Phaedr. 263 B (see above). Rpb. 453 A: εἰς τὰ μὲν (exception)

οἷα τε, εἰς δὲ τὰ οὔ. 467 D: εἰς μὲν ἄρα τὰς ἄξουσιν, εἰς δὲ τὰς εὐλαβήσονται. Rpb. 546 C: τὴν δὲ ἰσομήκη μὲν τῇ, προμήκη δέ.

Xen. [R.A.] 2, 8: ἔπειτα φωνὴν πᾶσαν ἀκούοντες ἐξελέξαντο τοῦτο μὲν ἐκ τῆς τοῦτο δὲ ἐκ τῆς. 11: παρὰ μὲν τοῦ . . . παρὰ δὲ τοῦ . . . παρὰ δὲ τοῦ . . . παρὰ δὲ τοῦ . . . παρὰ δὲ τοῦ. 12 (see above).

Thuc. 3, 61, 1: νῦν δὲ πρὸς μὲν τὰ ἀντειπεῖν δεῖ, τῶν δὲ ἔλεγχον ποιήσασθαι. 82, 7: καὶ τῷ μὲν αἰσχύνονται, ἐπὶ δὲ τῷ ἀγάλλονται. 6, 66, 1: τῇ μὲν γὰρ τειχία τε καὶ οἰκίαι εἶργον . . ., παρὰ δὲ τὸ κρημνοί.

Hdt. 1, 87: ἐν μὲν γὰρ τῇ (sc. εἰρήνῃ) οἱ παῖδες τοὺς πατέρας θάπτουσι, ἐν δὲ τῷ (sc. πολέμῳ) οἱ πατέρες τοὺς παῖδας. 2, 138: ἣ μὲν τῇ περιρρέουσα, ἣ δὲ τῇ.

Eur. Alc. 264–5: οἰκτρὰν φίλοισιν, ἐκ δὲ τῶν μάλιστ' ἐμοὶ | καὶ παισίν. Suppl. 207–8: πρὸς δὲ τοῖσι χείματος | προβλήματ(α).

Soph. Ant. 557: καλῶς σὺ μὲν τοῖς, τοῖς δ' ἐγὼ 'δόκουν φρονεῖν. O. C. 742: ἐκ δὲ τῶν μάλιστ' ἐγώ.

Aeschyl. Eum. 1–2: πρῶτον μὲν . . . πρεσβεύω . . . | τὴν πρωτόμαντιν Γαῖαν· ἐκ δὲ τῆς Θέμιν. 693: ἐν δὲ τῷ. 784 (= 814): ἐκ δὲ τοῦ.

Pind. N. 7, 55: ὃ μὲν τά, τὰ δ' ἄλλοι.

517. ὃ δέ WITHOUT AN EXPRESSED **ὃ μέν.** — ὃ δέ without expressed ὃ μέν is sometimes used in the sense of *the other, another*, plural *the others, others*, just as though a ὃ μέν preceded.

δύο δὴ λέγω τούτω εἴδη κινήσεως, ἀλλοίωσιν, τὴν δὲ περιφοράν, Plato, Theaet. 181 D; *There are two kinds of motion then that I mean, alteration* (the one), *the other rotation.*

Dem. 9, 64: εἰσφέρειν ἐκέλευον, οἱ δ' οὐδὲν δεῖν ἔφασαν· πολεμεῖν καὶ μὴ πιστεύειν, οἱ δ' ἄγειν εἰρήνην, ἕως ἐγκατελήφθησαν. 54, 9: ᾗδε . . . οἱ δέ.

Plato, Cratyl. 385 B: καλεῖς τι ἀληθῆ λέγειν καὶ ψευδῆ; Ἔγωγε. Οὐκοῦν εἴη ἂν λόγος ἀληθής, ὃ δὲ ψευδής. Politic. 291 E: μοναρχίαν μὲν προσαγορεύουσιν ὡς δύο παρεχομένην εἴδη δυοῖν ὀνόμασι, τυραννίδι, τὸ δὲ βασιλικῇ. Theaet. 181 D (see above).

Ar. Eq. 599–600: εἰς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς, | πριάμενοι κώθωνας, οἱ δὲ καὶ σκόροδα καὶ κρόμμυα. Av. 490–492: ἀναπηδῶσιν πάντες ἐπ' ἔργον . . . | οἱ δὲ βαδίζουσ' ὑποδησάμενοι νύκτωρ. 529–30: εἶτα λαβόντες πωλοῦσ' ἀθρόους· | οἱ δ' ὠνοῦνται βλιμάζοντες.

Eur. H. F. 568–72: Καδμείων δ' ὅσους | κακοὺς ἐφεῦρον . . . χειρώσομαι· | τοὺς δὲ πτερωτοῖς διαφορῶν τοξεύμασι | νεκρῶν ἅπαντ' Ἰσμηνὸν ἐμπλήσω φόνου. 635–6: χρήμασιν δὲ διάφοροι· | ἔχουσιν, οἱ δ' οὔ.

Soph. Ant. 201–2: ἠθέλησε δ' αἵματος | κοινοῦ πάσασθαι, τοὺς δὲ δουλώσας ἄγειν. Cf. O. R. 1227–9: οἶμαι γὰρ οὔτ' ἂν Ἴστρον οὔτε Φᾶσιν ἄν | νίψαι καθαρμῷ τήνδε τὴν στέγην, ὅσα | κεύθει, τὰ δ' αὐτίκ' ἐς τὸ φῶς φανεῖ κακά, where also see commentators.

Pind. O. 9, 67–8: ἀφίκοντο δέ οἱ ξένοι | ἔκ τ' Ἄργεος ἔκ τε Θηβᾶν, οἱ δ' Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται. 86–7: ἄλλαι δὲ δύ' ἐν Κορίνθου πύλαις ἐγένοντ'

ἔπειτα χάρμαι, | ταὶ δὲ καὶ Νεμέαις Ἐφαρμόστῳ κατὰ κόλπον. P. 3, 91–2: ὁπόθ' Ἁρμονίαν γᾶμεν (sc. ὃ μέν) βοῶπιν, | ὃ δὲ Νηρέος εὐβούλου Θέτιν παῖδα κλυτάν. I. 5, 60–1: ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου | τρεῖς, ἀπ' Ἰσθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου Νεμέας.

HOM. Od. 9, 466–7: ἀσπάσιοι δὲ φίλοις ἑτάροισι φάνημεν, | οἳ φύγομεν θάνατον· τοὺς δὲ στενάχοντο γοῶντες.

Il. 22, 157: τῇ ῥα παραδραμέτην φεύγων, ὃ δ' ὄπισθε διώκων.

518. **ὃ δέ** WITHOUT REFERENCE TO **ὃ μέν**. — ὃ δέ may be used by itself without reference to an expressed or an implied ὃ μέν, rarely, however, in Attic of the subject of the preceding sentence. Especially common in Plato is τὸ δέ, which is often unnecessarily treated as if it were an adverbial phrase, *as for that matter, whereas.* (C. W. E. M., *JAPA.*, xxxix, 121 ff.)

ὃ δέ *not same as subject of preceding sentence:*

καὶ ἐγὼ τὴν γυναῖκα ἀπιέναι ἐκέλευον . . . ἣ δὲ . . . οὐκ ἤθελεν, LYS. 1, 12; *And I bade my wife go away but she would not (refused).*

DEM. 18, 140: ἓν δ' ἐπεξειργάσατ' ἄνδρες Ἀθηναῖοι . . . περὶ οὗ τοὺς πολλοὺς ἀνήλωσεν λόγους, . . . ὡς διαστρέψων τἀληθές. τὸ δ' οὐ τοιοῦτόν ἐστι.

ISAE. 1, 14: προσέταξε Ποσειδίππῳ τὴν ἀρχὴν εἰσαγαγεῖν. ὃ δὲ οὐ μόνον οὐκ εἰσήγαγεν, ἀλλὰ καὶ τὸν ἐλθόντα τῶν ἀρχόντων . . . ἀπέπεμψεν.

LYS. 1, 12 (see above). 12, 8–9: ἐγὼ δὲ Πείσωνα μὲν ἠρώτων . . . ὃ δ' ἔφασκεν . . . εἶπον οὖν . . . ὃ δ' ὡμολόγησε ταῦτα ποιήσειν. 11: ἐδεόμην αὐτοῦ . . . ὃ δ' . . . ἔφασκεν. 12. 14.

PLATO, Apol. 23 A: τὸ δέ. 37 A: ἴσως οὖν ὑμῖν . . . δοκῶ λέγειν . . . ἀπαυθαδιζόμενος· τὸ δὲ οὐκ ἔστιν, ὦ Ἀθηναῖοι, τοιοῦτον, ἀλλὰ τοιόνδε μᾶλλον. 39 C. Conv. 183 D. 198 D. Legg. 630 D, elsew. Meno, 97 C. Phaedr. 228 B: ὃ δὲ ἐπείθετο προθύμως. 247 C: αὐτὰς . . . αἳ δέ. Protag. 315 C: ἐφαίνοντο δὲ περὶ φύσεως . . . διερωτᾶν τὸν Ἱππίαν, ὃ δ(ὲ) . . . διεξῄει τὰ ἐρωτώμενα. 344 E: τὸ δ(έ). Rpb. 340 D, elsew. Soph. 244 A. Theaet. 157 A.

XEN. An. 1, 3, 21: ἀκούσαντες δὲ ταῦτα . . . ἀναγγέλλουσι τοῖς στρατιώταις· τοῖς δὲ ὑποψία . . . ἦν. Cyr. 1, 3, 13: ἐδεῖτο αὐτῆς ὁ Ἀστυάγης καταλιπεῖν τὸν Κῦρον, ἣ δὲ ἀπεκρίνατο κτέ. 15.

THUC. 1, 37, 2: φασὶ δὲ ξυμμαχίαν διὰ τὸ σῶφρον οὐδενός πω δέξασθαι· τὸ δ' ἐπὶ κακουργίᾳ καὶ οὐκ ἀρετῇ ἐπετήδευσαν. 81, 1–2: τάχ' ἄν τις θαρσοίη ὅτι τοῖς ὅπλοις αὐτῶν . . . ὑπερφέρομεν, ὥστε τὴν γῆν δηοῦν ἐπιφοιτῶντες. τοῖς δὲ ἄλλη γῆ ἐστι πολλὴ κτέ. 102, 2: μάλιστα δ' αὐτοὺς ἐπεκαλέσαντο ὅτι τειχομαχεῖν ἐδόκουν δυνατοὶ εἶναι. τοῖς δὲ πολιοσκίας μακρᾶς καθεστηκυίας τούτου ἐνδεᾶ ἐφαίνετο. 104, 2: οἳ δέ. 2, 4, 1. Elsew.

HDT. 2, 30: διδοῦσι σφέας αὐτοὺς τῷ Αἰθιόπων βασιλέι· ὃ δέ σφεας τῷδε ἀντιδωρέεται. 169: αἳ δέ. 6, 69: ἐγὼ δὲ . . . ὃ δέ. Often.

Ar. Eq. 626. 651 : οἳ (δ.). 652. 663–4 : ἐκαραδόκησεν εἰς ἐμ' ἡ βουλὴ πάλιν. | ὃ δὲ ταῦτ' ἀκούσας . . . ἐφληνάφα. 666 : οἳ δ(έ). 667. 670 : οἳ δ(έ). 680 : οἳ δ(έ). Vesp. 116–30 (*sexies*). 568–70 : τὰ παιδάρι' εὐθὺς ἀνέλκει . . . ἐγὼ δ' ἀκροῶμαι· τὰ δὲ . . . ἀμβληχᾶται. Pax, 623 : οἳ δ(έ).

Com. Cratin. 2, 183 : καὶ γὰρ ἐβλίμαζον αὐτήν, ἣ δ' ἐφρόντιζ' οὐδὲ ἕν.

Eur. Alc. 264–5 : οἰκτρὰν φίλοισιν, ἐκ δὲ τῶν μάλιστ' ἐμοὶ | καὶ παισίν (516). Heracl. 290–1 : μάλα δ' ὀξὺς Ἄρης ὁ Μυκηναίων, | ἐπὶ τοῖσι δὲ δὴ μᾶλλον ἔτ' ἢ πρίν. I. T. 296. 333–5 : πρὸς δ' ἄνακτα τῆσδε γῆς | κομίζομέν νιν. ὃ δ' . . . ὅσον τάχος | . . . ἔπεμπέ σοι. Or. 877 : ὃ δ(έ). Suppl. 207–8 (516).

Soph. O. C. 741–2 : πᾶς σε Καδμείων λεὼς | καλεῖ δικαίως, ἐκ δὲ τῶν μάλιστ' ἐγώ. 1607–11 : ἐς δὲ γούνατα | πατρὸς πεσοῦσαι κλαῖον . . . ὃ δ' ὡς ἀκούει φθόγγον . . . εἶπεν.

Pind. O. 1, 74–6 : ἄπυεν βαρύκτυπον | Εὐτρίαιναν· ὃ δ' αὐτῷ | πὰρ ποδὶ σχεδὸν φάνη. 6, 52 : τοὶ δ(έ). 13, 92 : τὸν δ(έ). P. 4, 41 : τῶν δ(έ). 133 : οἳ δ(έ).

Hom. Od. 9, 399–401 : αὐτὰρ ὃ Κύκλωπας μεγάλ' ἤπυεν . . . | οἳ δὲ . . . ἐφοίταον ἄλλοθεν ἄλλος. 9, 407–9 : τοὺς δ(ὲ) . . . προσέφη . . . Πολύφημος . . . οἳ δ' ἀπαμειβόμενοι ἔπεα πτερόεντ' ἀγόρευον. 471 : οἳ δ(έ). 480 : ὃ δ(έ).

Il. 1, 43 : ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων. 313–4 : λαοὺς δ' Ἀτρεΐδης ἀπολυμαίνεσθαι ἄνωγεν. | οἳ δ' ἀπελυμαίνοντο. 446–7 : ὣς εἰπὼν ἐν χερσὶ τίθει, ὃ δ' ἐδέξατο χαίρων | παῖδα φίλην. 22, 141 : ἣ δέ.

519. ὃ δέ *same as subject of preceding sentence :*

ἐνταῦθ' ἔμενον ὡς τὸ ἄκρον κατέχοντες. οἳ δ' οὐ κατεῖχον, ἀλλὰ μαστὸς ἦν ὑπὲρ αὐτῶν, Xen. An. 4, 2, 5–6 ; *There they remained fancying that they were in possession of the summit. Not they, but there was a knoll above them.*

Xen. 4, 2, 5–6 (see above).

Thuc. 1, 87, 1–2 : τοιαῦτα δὲ λέξας ἐπεψήφιζεν αὐτὸς ἔφορος ὤν. ὃ δέ, κρίνουσι γὰρ βοῇ καὶ οὐ ψήφῳ, οὐκ ἔφη διαγιγνώσκειν τὴν βοὴν ὁποτέρα μείζων.

Hdt. 1, 17. 66. 107. 171. 196. 3, 126. 5, 35. 120. 6, 3. 9 : εἰ δὲ ταῦτα μὲν οὐ ποιήσουσι, οἳ δὲ πάντως διὰ μάχης ἐλεύσονται, τάδε ἤδη σφι λέγετε. 133. 7, 13. 125. 163 : Γέλων δὲ . . . ταύτην μὲν τὴν ὁδὸν ἠμέλησε, ὃ δὲ ἄλλης εἴχετο. 218. 8, 40. 9, 52. 108.

Soph. El. 711–3 : χαλκῆς ὑπαὶ σάλπιγγος ἦξαν· οἳ δ' ἅμα | ἵπποις ὁμοκλήσαντες ἡνίας χεροῖν | ἔσεισαν.

Hom. Od. 9, 398–9 : τὸν μὲν (sc. μοχλόν) ἔπειτ' ἔρρυψεν ἀπὸ ἕο . . . | αὐτὰρ ὃ Κύκλωπας μεγάλ' ἤπυεν. 13, 219 : τῶν μὲν ἄρ' οὔ τι πόθει· ὃ δ' ὀδύρετο πατρίδα γαῖαν.

Il. 1, 189–91 : διάνδιχα μερμήριξεν, | ἦ ὅ γε . . . | τοὺς μὲν ἀναστήσειεν, ὃ δ' Ἀτρεΐδην ἐναρίζοι. 4, 491. 5, 148 : τοὺς μὲν ἔασ', ὃ δ' Ἄβαντα μετῴχετο. 8, 119. 126. 302. 11, 80. 148. 426. 13, 518. 15, 127 : ἣ δ(έ). 136. 16, 467. 20, 322. 21, 115. 171.

520. ὃ γάρ. — ὃ γάρ as a substantive is not found in Attic prose.[1]

ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν, HOM. Il. 12.

HDT. 1, 172: τοῖσι γάρ. 2, 124: τῆς . . . γάρ. 148: ὁ δὲ δὴ λαβύρινθος καὶ τὰς πυραμίδας ὑπερβάλλει. τοῦ γὰρ δυώδεκα μέν εἰσι αὐλαὶ κτέ.

SOPH. El. 45–6: ὃ γὰρ | μέγιστος αὐτοῖς τυγχάνει δορυξένων. O. R. 1082: τῆς γάρ. 1102: τῷ γάρ. Ph. 154: τὸ γάρ.

AESCHYL. Ag. 1478–9: ἐκ τοῦ γὰρ ἔρως αἱματολοιχὸς | . . . τρέφεται. Sept. 17: ἥ γάρ. Suppl. 358: τῶν γάρ. 970: τοῦ γάρ.

THEOGN. 392: ἥ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.

HOM. Od. 1, 359: τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκῳ.

Il. 1, 9–10: ὃ γὰρ βασιλῆι χολωθεὶς | νοῦσον . . . ὦρσε κακήν. 12 (see above). 55: τῷ γάρ. 404: ὃ γάρ.

521. καὶ τόν, καὶ τήν. — In Attic prose καὶ τόν, καὶ τῆν are used in *oratio obliqua* where καὶ ὅς, καὶ ἥ (see **522**) would be used in *oratio recta*. In poetry and in HERODOTUS, the use is not limited to *oratio obliqua*.

ἔφη γὰρ . . . ἐρέσθαι αὐτὸν ὅποι ἴοι . . . καὶ τὸν εἰπεῖν ὅτι ἐπὶ δεῖπνον, PLATO, Conv. 174 A; *He said that he asked him whither he was going and he made answer, To a banquet.*

PLATO, Conv. 174 A (see above).

XEN. An. No example. (See Joost, Sprachgebr. Xenophons in der Anabasis, p. 61.) Cyr. 1, 3, 9: καὶ τὸν κελεῦσαι δοῦναι. 4, 2, 13: καὶ τὸν ἀποκρίνασθαι λέγεται.

HDT. 1, 24: καὶ τοῖσι ἐσελθεῖν . . . ἡδονήν. 86: καὶ τοὺς . . . ἐπειρωτᾶν. 2, 162: καὶ τῷ . . . ἐγίνετο. 4, 5: καὶ τῶν . . . καὶ τόν. 9: καὶ τὸν . . . ἐθέλειν. 6, 61: καὶ τὴν φράσαι. 8, 88: καὶ τόν . . . καὶ τούς.

SOPH. O. C. 1699: ὁπότε γε καὶ τὸν ἐν χεροῖν κατεῖχον.

AESCHYL. Eum. 174: καὶ τὸν οὐκ ἐκλύσεται.

PIND. I. 7(8), 15: ἰατὰ δ' ἔστι βροτοῖς σύν γ' ἐλευθερίᾳ καὶ τά.

522. ὅς, ἥ, ὅ USED LIKE THE SUBSTANTIVE ARTICLE. — The use of ὅς, ἥ, ὅ as a demonstrative is almost confined in Attic prose to the combinations καὶ ὅς, καὶ ἥ, καὶ οἵ, and the phrases ἥ δ' ὅς, ἥ δ' ἥ. In poetry the use is more free.

καὶ ὃς ἠγεῖτο, XEN. An. 6, 5, 22; *And he was in the van.* **ἥ δ' ὅς,** PLATO, Rpb. 437 B; *Quoth he.*

DEM. 18, 71: Φίλιππος πόλεις Ἑλληνίδας ἃς μὲν ἀναιρῶν, εἰς ἃς δὲ τοὺς φυγάδας κατάγων ἔλυε τὴν εἰρήνην.

ANTIPHON, 1, 16: ἠρώτα οὖν αὐτὴν εἰ ἐθελήσοι διακονῆσαί οἱ, καὶ ἥ ὑπέσχετο ὡς τάχιστα.

[1] It is claimed by Classen for THUC. 1, 69, 2: οἱ γὰρ δρῶντες βεβουλευμένοι πρὸς οὐ διεγνωκότας ἤδη καὶ οὐ μέλλοντες ἐπέρχονται, and 6, 36, 2: οἱ γὰρ δεδιότες ἰδίᾳ τι βούλονται τὴν πόλιν ἐς ἔκπληξιν καθιστάναι.

PLATO, Conv. 201 E: καὶ ἥ, οὐκ εὐφημήσεις; ἔφη. 205 C (= 206 A. B. C): ἥ δ' ἥ. 208 C: καὶ ἥ. Rpb. 437 B (see above). 437 D and often: ἥ δ' ὅς.

XEN. An. 1, 8, 16 (= 3, 4, 48. 6, 5, 22. Conv. 1, 15. 2, 3. 16. Often): καὶ ὅς. Cyr. 4, 2, 13: καὶ οἵ.

THUC. 4, 33, 2: τοὺς δὲ ψιλοὺς . . . ἔτρεπον, καὶ οἱ ὑποστρέφοντες ἠμύνοντο.

HDT. 4, 68: τὰς βασιληΐας ἱστίας ἐπιώρκηκε ὃς καὶ ὅς. 7, 18: καὶ ὅς. 8, 56: καὶ οἵ. 87: καὶ ἥ.

EUR. I. T. 419–20: γνώμα δ' οἷς μὲν ἄκαιρος ὄλβου, τοῖς δ' εἰς μέσον ἥκει.

THEOGN. 169: ὃν δὲ θεοὶ τιμῶσ', ὃν καὶ μωμεύμενος αἰνεῖ. 800: ἀλλ' ὃς λώϊος, ὃς μὴ πλεόνεσσι μέλῃ.

PHOCYL. 1: Λέριοι κακοί· οὐχ ὃ μέν, ὃς δ' οὔ.

HOM. Od. 1, 286: ὃς γὰρ δεύτατος ἦλθεν. 17, 172: ὃς γάρ. 24, 190: ὃ (= τό) γὰρ γέρας ἐστὶ θανόντων.

Il. 6, 59: μηδ' ὃς φύγοι. 12, 357–8: ὃ γάρ κ' ὄχ' ἄριστον ἁπάντων | εἴῃ. 21, 198: ἀλλὰ καὶ ὃς δείδοικε. 22, 201: οὐδ' ὅς. 23, 9 (= Od. 24, 190 cited above).

523. τὸν καὶ τόν, τὸ καὶ τό, τὰ καὶ τά. — *τὸν καὶ τόν, τὸ καὶ τό, τὰ καὶ τά* occur chiefly in familiar discourse.

ἀφικνοῦμαι ὡς τὸν καὶ τόν, LYS. 1, 23; *I go to this man('s house) and that man('s).* **εἰ τὸ καὶ τὸ ἐποίησεν ἄνθρωπος** [οὑτοσί], **οὐκ ἂν ἀπέθανεν**, DEM. 18, 243; *If the poor fellow had done this and that (thus and so), he would not have died.*

DEM. 9, 68: ἔδει γὰρ τὸ καὶ τὸ ποιῆσαι, καὶ τὸ μὴ ποιῆσαι. 18, 243 (see above). 19, 74: διὰ τὸ καὶ τό. 21, 141: τὰ καὶ τά. 45, 45. 54, 26. Cf. Prooem. 50, 3: ὅπως μὴ τὰ ἥ τὰ γενήσεται, ἀλλ' ὅπως τά.

LYS. 1, 23 (see above). 19, 59: καί μοι κάλει τὸν καὶ τόν.

PLATO, Legg. Cf. 701 E: οὐ συνήνεγκεν οὔτε τοῖς οὔτε τοῖς. 784 C–D: ὁμόσαντες ἢ μὴν ἀδυνατεῖν τὸν καὶ τὸν βελτίω ποιεῖν. 874 A (= 948 A): τὸν καὶ τόν.

XEN. Not found in the Anabasis (Joost, Sprachgebr. p. 62).

HDT. 2, 138: τῇ δὲ καὶ τῇ τῆς ὁδοῦ δένδρεα οὐρανομήκεα πέφυκε. Cf. 4, 68: ὃς καὶ ὅς (522).

AESCHYL. Cf. Suppl. 439–40: ἢ τοῖσιν ἢ τοῖς πόλεμον αἱρεσθαι μέγαν | πᾶσ' ἔστ' ἀνάγκη.

PIND. O. 2, 59: τῶν τε καὶ τῶν. P. 7, 22: τὰ καὶ τά. N. 1, 30: τῶν τε καὶ τῶν χρήσιες. I. 4, 52: Ζεὺς τά τε καὶ τὰ νέμει.

THEOGN. 398: τὸν δ' ἀγαθὸν τολμᾶν χρὴ τά τε καὶ τὰ φέρειν.

HES. Sc. [209–10]: πολλοί γε . . . | δελφῖνες τῇ καὶ τῇ ἐθύνεον ἰχθυάοντες.

524. Compare the similar adjective use.

PLATO, Legg. 721 B: *ζημιοῦσθαι χρήμασί τε καὶ ἀτιμίᾳ, χρήμασι μὲν τόσοις καὶ τόσοις, τῇ καὶ τῇ δὲ ἀτιμίᾳ.*

525. **πρὸ τοῦ.** — *πρὸ τοῦ, formerly*, sometimes written *προτοῦ*, is equivalent to *πρὸ τούτου* (DEM. 21, 117. 36, 16).

διὰ ταῦτ(α) . . . μικρά, ἃ πρὸ τοῦ μεγάλ' ἦν, φαίνεται, DEM. 23, 203.

DEM. 1, 27. 20, 130. 160. 23, 203. 36, 33.

ISAE. 8, 34: *οὐκ οἶδ' εἴ τινι πρὸ τοῦ . . . τοιοῦτος ἀγὼν συμβέβηκεν.*

ISOC. 4, 112: *πρὸ τοῦ . . . ἐπαυσάμεθ' ἀλλήλους ἐλεοῦντες.*

LYS. 12, 2: *ἐν τῷ πρὸ τοῦ χρόνῳ.*

PLATO, Conv. 172 D. Phaedo, 96 C. Phaedr. 252 A. Protag. 315 D.

THUC. 1, 32, 4. 103, 2. 2, 73, 3: *ἐν τῷ πρὸ τοῦ χρόνῳ.*

HDT. 1, 103. 122. 5, 83.

AR. Nub. 5: *ἀλλ' οὐκ ἂν πρὸ τοῦ.* Thesm. 418.

AESCHYL. Ag. 1204. Eum. 462: *τὸν πρὸ τοῦ φεύγων χρόνον.*

For *ἐν τοῖς* with the superlative see the *Superlative*.

526. **τῷ** = *therefore*.

τῷ τοι, ὦ φίλε Θεόδωρε, μᾶλλον σκεπτέον, PLATO, Theaet. 179 D.

PLATO, Soph. 230 B: *τῷ τοι ταύτης τῆς δόξης ἐπὶ ἐκβολὴν ἄλλῳ τρόπῳ στέλλονται.* Theaet. 179 D (see above).

SOPH. O. R. 510–1: *τῷ ἀπ' ἐμᾶς | φρενὸς οὔποτ' ὀφλήσει κακίαν.*

AESCHYL. P. V. 237: *τῷ τοι τοιαῖσδε πημοναῖσι κάμπτομαι.*

HOM. Od. 2, 281: *τῷ*[1] *νῦν μνηστήρων μὲν ἔα βουλήν τε νόον τε.* 8, 548–9: *τῷ νῦν μηδὲ σὺ κεῦθε . . . | ὅττι κέ σ' εἴρωμαι.* Often.

Il. 2, 250: *τῷ οὐκ ἂν βασιλῆας ἀνὰ στόμ' ἔχων ἀγορεύοις.* 354. Often.

527. **ὅ γε, τό γε.**

πάσσοφοι ἀτεχνῶς τώ γε, PLATO, Euthyd. 271 C; *All wise, absolutely so, this couple.*

PLATO, Euthyd. 271 C (see above). 291 A: *ἀλλὰ μὴν τό γε εὖ οἶδα, ὅτι κτέ.*

HDT. 2, 173: *λάθοι ἂν ἤτοι μανεὶς ἢ ὅ γε ἀπόπληκτος γενόμενος.*

HOM. Od. 1, 4: *πολλὰ δ' ὅ γ' ἐν πόντῳ πάθεν.* 26. 31. 331: *ἅμα τῇ γε.* 370: *τό γε.* 443. Often.

Il. 1, 65: *ὅ γ(ε).* 68. 97. 101. 190. 261: *οἵ γ(ε).* 320. 330: *τώ γε.* 401: *τόν γ(ε).* Often.

528. SUBSTANTIVE ARTICLE UNSUPPORTED BY A PARTICLE. — HOMER uses the article as a substantive demonstrative with more freedom than the Attic.

[1] In Homer some write *τῶ*. *τό* is also found.

ἀλλὰ τὰ μὲν πολίων ἕξ ἐπράθομεν, τὰ δέδασται, HOM. Il. 1, 125.

HDT. 1, 51: καὶ τάδε ἄλλα (sc. ἀπέπεμπε) ἅμα τοῖσι. 5, 97: καὶ πρὸς τοῖσι. 7, 8, β): δεύτερα δὲ ἡμέας οἷα ἔρξαν . . . τὰ[1] ἐπίστασθέ κου πάντες.

COM. Epicr. 3, 370, 4 f.: ποία φροντίς, ποῖος δὲ λόγος | διερευνᾶται παρὰ τοῖσιν;

SOPH. The τόν of O. C. 1574 (Hermann) and of O. R. 200 is regarded as demonstrative by Ellendt, Lexicon Sophocleum, but as relative by Jebb.

AESCHYL. Eum. 137–8: σὺ δ' αἱματηρὸν πνεῦμ' ἐπουρίσασα τῷ | ἔπου. 338: τοῖς ὁμαρτεῖν. Sept. 197: ἀνὴρ γυνή τε χὤ τι τῶν μεταίχμιον. Suppl. 1047: ὅ τί τοι μόρσιμόν ἐστιν, τὸ γένοιτ' ἄν.

PIND. O. 6, 74–6 (see 529). P. 3, 88–91: λέγονται μὰν βροτῶν | ὄλβον ὑπέρτατον οἳ σχεῖν, οἵτε . . . | ἄριον.

HOM. Od. 1, 55: τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει. 74: ἐκ τοῦ δή. 212: ἐκ τοῦ, *from that time*. 215: μήτηρ μέν τέ μέ φησι τοῦ ἔμμεναι. 220: τοῦ. 11, 144: εἰπέ, ἄναξ, πῶς κέν με ἀναγνοίη τὸν ἐόντα; Elsewhere.

Il. 1, 73: ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο. 125 (see above). 301: τῶν οὐκ ἄν τι φέροις. 348: ἅμα τοῖσι. 407: τῶν. 9, 93: τοῖς ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν. 22, 165: τώ.

529. ARTICLE AS ANTECEDENT OF THE RELATIVE. — Wherever the article is used as a full demonstrative, it may be used as the antecedent of the relative, but the regular antecedent of the relative is οὗτος. In Attic prose the few examples cited are mainly in the neuter gender, and may be explained and have been explained on the same principle as the ordinary article with any word or group of words.

οὔ τις | τῶν οἳ νῦν βροτοί εἰσιν, HOM. Il. 1, 271–2. But in Attic: **τὰ ἐν τοῖς ὕδασι φαντάσματα καὶ ἐν τοῖς ὅσα πυκνά τε καὶ λεῖα καὶ φανὰ ξυνέστηκε,** PLATO, Rpb. 510 A (ὅσα . . . ξυνέστηκε parallel with ὕδασι). **τόν τε Εὐθύκριτον . . . καὶ τὸν ὃς ἔφη δεσπότης τούτου εἶναι, μάρτυρας παρέξομαι,** LYS. 23, 8 (ὃς ἔφη . . . εἶναι parallel with Εὐθύκριτον).

DEM. 22, 64: καὶ μισεῖν τοὺς οἱόσπερ οὗτος. 25, 30: εἴ τις . . . εἴποι τοῖς βιαζομένοις ἐξεῖναι λέγειν ἢ τοῖς ἐκ τοῦ δεσμωτηρίου ἢ τοῖς ὧν ἀπέκτεινεν ὁ δῆμος τοὺς πατέρας. *Ibid.*: πρόσεστι τοῖς οἷος οὗτός ἐστι τὴν φύσιν.

LYS. 23, 8 (see above).

PLATO, Lach. 185 D: περὶ τοῦ ὅ. Legg. 758 C: τῶν ὧν προσήκει. 761 E: περὶ τοὺς ὧν. 871 E: κατεγγυάτω τὸν ᾧ ἂν ἐπισκήπτηται. 873 D: τῶν ὅσα. Parmen. 130 C: τῶν οἷοι. Phaedo, 75 B: πάντα τὰ ἐν ταῖς αἰσθήσεσιν ἐκείνου . . . ὀρέγεται τοῦ ὃ ἔστιν ἴσον. 92 D: τοῦ ὅ. Phaedr. 247 E: ἐν τῷ ὅ. Prot. 320 D: τῶν ὅσα. Rpb. 469 B: τῶν ὅσοι. 510 A (see above). *Ibid.*: οὕτω τὸ ὁμοιωθὲν πρὸς τὸ ᾧ ὡμοιώθη. Soph. 241 E: περὶ τεχνῶν τῶν ὅσαι περὶ ταὐτά εἰσι. Theaet. 204 D: ἔν γε τοῖς ὅσα.

[1] So Stein, who, however, states in the critical note that τά is omitted by Dionysius, and rightly so. Krüger and Abicht both omit the τά.

Hdt. 3, 23: μήτε ξύλον μήτε τῶν ὅσα ξύλου ἐστὶ ἐλαφρότερα. 131: ἔχων οὐδὲν τῶν ὅσα περὶ τὴν τέχνην ἐστὶ ἐργαλήια. 133: οὐδενὸς τῶν ὅσα ἐς αἰσχύνην ἐστὶ φέροντα.

Aeschyl. Suppl. 1047: ὅ τί τοι μόρσιμόν ἐστιν, τὸ γένοιτ' ἄν (528).

Pind. O. 6, 74–6: μῶμος . . . κρέμαται . . . | τοῖς, οἷς ποτε πρώτοις . . . | . . . ποτιστάξῃ χάρις εὐκλέα μορφάν. P. 3, 88–91 (528).

Theogn. 33–4: καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν | ἵζε, καὶ ἄνδανε τοῖς, ὧν μεγάλη δύναμις.

Hom. Od. 1, 219–20: ὃς ἀποτμότατος γένετο . . . | τοῦ μ' ἔκ φασι γενέσθαι. 2, 116: τὰ φρονέουσ' ἀνὰ θυμόν, ἃ οἱ πέρι δῶκεν Ἀθήνη. 6, 28: τὰ δὲ τοῖσι παρασχέμεν, οἵ κέ σ' ἄγωνται. 7, 211–2: οὓς τινας . . . τοῖσιν. 17, 383: τῶν οἵ. 19, 7–8: τοῖσιν . . . | οἷα.

Il. 1, 271–2 (see above). 4, 232–3: οὓς μὲν σπεύδοντας ἴδοι . . . | τοὺς μάλα θαρσύνεσκε. 9, 74–5: τῷ πείσεαι ὅς κεν ἀρίστην | βουλὴν βουλεύσῃ.

530. Article as a Relative. — Out of the demonstrative use grows the relative use, for which see *Relative Sentence*. The ancient grammarians called the demonstrative article ἄρθρον προτακτικόν, the relative ἄρθρον ὑποτακτικόν, and relative and article were blended in the consciousness of the people.

ADJECTIVE USE

531. The article is commonly treated under two heads, that of the individual or specific article and that of the generic article.

Individual or Specific Article

532. The use of the Individual or Specific Article is so much like the English that only divergencies need be noticed at length.

533. Article with Objects Present to the Mind. — Like the English the Attic article is used of objects that are present to the mind or senses, well-known, notorious, expected, recurring, customary, — the Anaphoric Article or Article of Reference.

οἱ μάρτυρες μεμαρτυρήκασιν, Andoc. 1, 25; *The witnesses have testified.* ὁ . . . ἄνθρωπος ἔνδον ἦν, Lys. 1, 11; *The fellow was within.* ὁ πόλεμος ἐρπέτω, Ar. Lys. 129 and 130; *On with the war.* στάσεις ἐν ταῖς πόλεσιν . . . ἐγίγνοντο, Thuc. 1, 12, 2; *Factions kept breaking out in the (different) cities.* θάνατος . . . ἡ ζημία, Dem. 20, 167; *The (regular) penalty is death.* διεκωλύθησαν δὲ ὑπὸ τοῦ γενομένου σεισμοῦ, Thuc. 1, 101, 2; *They were prevented by the occurrence of the well-known (great) earthquake.* Ξέρξης ὅτε ἐκ τῆς Ἑλλάδος ἡττηθεὶς τῇ μάχῃ [*after having been defeated in the (famous) battle*] ἀπεχώρει, Xen. An. 1, 2, 9.

534. Possessive Article. — The article is used very freely in prose, in orators, philosophers, historians alike, to intimate possession. So especially in family relations, parts of the body, personal belongings. In elevated poetry this possessive article is very little used. The language is content with the anarthrous substantive. But as possession is more freely emphasized in poetry than in prose, the possessive pronoun and possessive genitive are often employed where prose would be satisfied with the article. (See *Possessive Pronouns.*) Comedy admits the prose use without difficulty.

τὴν κλεῖν συνετρίβην καὶ τὴν κεφαλὴν κατεάγην, And. 1, 61; *My collar-bone was crushed and my head broken.* **ἐβούλετο** (sc. **Δαρεῖος**) **τὼ παῖδε ἀμφοτέρω παρεῖναι,** Xen. An. 1, 1, 1; *Darius wanted both his boys to be with him.*

Dem. 19, 314: τὰς ὀφρῦς ἀνέσπακε. *Ibid.*: διὰ τῆς ἀγορᾶς πορεύεται θοἰμάτιον καθεὶς ἄχρι τῶν σφυρῶν . . . τὰς γνάθους φυσῶν.

Andoc. 1, 44: ἐπὶ τοὺς ἵππους ἀναβάντες ᾤχοντο. 47: οὑτοσὶ ἀνεψιὸς τοῦ (*my*) πατρός. 61 (see above).

Dem. 39, 18: ψευδομαρτυριῶν ἁλώσεσθαι προσδοκῶν ἐφ' οἷς ἐρανίζει τούτοις τοῖς περὶ αὐτόν (*his friends*).

Aeschin. 1, 18: τοῖς περὶ τὸν παῖδα (excl.), πατρί, ἀδελφῷ, ἐπιτρόπῳ, διδασκάλοις καὶ ὅλως τοῖς κυρίοις. 3, 91: Δημοσθένει . . . καὶ τοῖς περὶ τοῦτον (excl.). (Cf. 165: τοὺς περὶ Κόρραγον στρατιώτας.)

Isoc. 11, 15: τροφὴν ἱκανὴν τοῖς περὶ αὑτὸν ἐξευρεῖν.

Plato, Crat. 440 C (see above). Meno, 99 B: οἱ ἀμφὶ Θεμιστοκλέα (incl.). Phileb. 44 C: οἱ περὶ Φίληβον.

Xen. An. 1, 8, 21: Κῦρος . . . προσκυνούμενος ἤδη ὑπὸ τῶν ἀμφ' αὐτόν (excl.). 2, 4, 2: οἱ περὶ Ἀριαῖον (incl.). Cyr. 7, 5, 26: οἱ δ' ἀμφὶ τὸν

[1] *E.g.* Luc. Conv. § 42: καὶ ἀνείλοντο οἱ περὶ τὸν Ἀρισταίνετον καὶ Εὔκριτον τὴν πρὸ αὐτοῦ ἑκάτερος. 43: οἱ δὲ ἀμφὶ τὸν Ἑρμωνα καὶ Ζηνόθεμιν ἅμα κατέκειντο . . . ὁ μὲν ὑπεράνω ὁ Ζηνόθεμις, ὁ δ' ὑπ' αὐτόν.

Γωβρύαν (incl.) *συνεβόων αὐτοῖς.* Hell. 3, 4, 20: *οἱ μὲν περὶ Λύσανδρον* (incl.) *τριάκοντα οἴκαδε ἀπέπλεον, διάδοχοι δ' αὐτοῖς οἱ περὶ Ἡριππίδαν* (incl.) *παρῆσαν.*

THUC. 4, 33, 1 (see above). 8, 65, 1: *οἱ δὲ ἀμφὶ τὸν Πείσανδρον.*

HDT. 1, 63: *οἱ δὲ ἀμφὶ Πεισίστρατον* (incl.) *ἐσπεσόντες τοὺς Ἀθηναίους τράπουσι.* 3, 76: *οἱ μὲν ἀμφὶ τὸν Ὀτάνην . . . οἱ δὲ ἀμφὶ τὸν Δαρεῖον* (incl.).

HOM. Od. 22, 281–2: *τοὶ δ' αὖτ' ἀμφ' Ὀδυσῆα* (incl.) . . . | *μνηστήρων ἐς ὅμιλον ἀκόντισαν ὀξέα δοῦρα.*

Il. 3, 146: *οἱ δ' ἀμφὶ Πρίαμον.*

579. *Article with Any Word or Phrase used as a Substantive:*

τὸ δ' ὑμεῖς ὅταν εἴπω, τὴν πόλιν λέγω, DEM. 18, 88; *When I use the word "you," I mean the state.* **τὸ ἐπ' αὐτοφώρῳ,** LYS. 13, 85; *The phrase "in the act."*

DEM. 3, 2: *τότε καὶ περὶ τοῦ τίνα τιμωρήσεταί τις καὶ ὃν τρόπον ἐξέσται σκοπεῖν.* 18, 1: *περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ.* 88 (see above). 19, 238: *τὸ συγγνώμη ἀδελφῷ βοηθεῖν.* 23, 148: *αἱ ἀναγκαῖαι χρεῖαι τοὺς τοῦ τί πρακτέον ἢ μὴ λογισμοὺς ἀναιροῦσιν ἅπαντας.* 37, 46: *περὶ τοῦ τί χρὴ παθεῖν.*

LYS. 10, 17: *τοῦτο τὸ ἐπιορκήσαντα ὁμόσαντά ἐστι, τὸ δὲ δρασκάζειν, ὃ νῦν ἀποδιδράσκειν ὀνομάζομεν.* 19: *τὸ μὲν πεφασμένως ἐστὶ φανερῶς, . . . τὸ δὲ οἰκῆος θεράποντος.* 13, 85: *εἰ μὲν τὸ ἐπ' αὐτοφώρῳ μὴ προσεγέγραπτο* (26).

PLATO, Charm. 164 E: *τὸ γὰρ γνῶθι σαυτόν καὶ τὸ σωφρόνει ἐστὶ . . . ταὐτόν.* 165 A: *τό τε μηδὲν ἄγαν καὶ τὸ ἐγγύη, πάρα δ' ἄτη. Ibid.: τὸ γνῶθι σαυτόν.* Cratyl. 428 A: *τὸ τοῦ Ἡσιόδου . . . τὸ εἰ καί τις σμικρὸν ἐπὶ σμικρῷ καταθείη.* Legg. 880 D: *διδαχῆς χάριν τοῦ τίνα τρόπον ὁμιλοῦντες ἀλλήλοις ἂν φιλοφρόνως οἰκοῖεν.* Phileb. 20 B: *τὸ γὰρ εἰ βούλει ῥηθὲν λύει πάντα φόβον.* 48 C: *τὸ γνῶθι σαυτόν λέγεις, ὦ Σώκρατες;* Protag. 343 B: *τοῦτο τὸ ῥῆμα . . . τὸ χαλεπὸν ἐσθλὸν ἔμμεναι.* D: *ἔπειτα ἐνέβαλε τὸ μέν.* Rpb. 327 E: *ἔτι ἐλλείπεται τὸ ἦν πείσωμεν ὑμᾶς.* 352 D: *περὶ τοῦ ὅντινα τρόπον χρὴ ζῆν.*

XEN. Cyr. 5, 1, 21: *τὸ δ' ἐὰν μένητε παρ' ἐμοί, ἀποδώσω, εὖ ἴστε, ἔφη, αἰσχυνοίμην ἂν εἰπεῖν.* Oec. 6, 14: *τὸ σεμνὸν ὄνομα τοῦτο τὸ καλός τε κἀγαθός.* 7, 3: *γελάσας ἐπὶ τῷ τί ποιῶν καλὸς κἀγαθὸς κέκλησαι.*

HDT. 8, 79: *ἡμέας στασιάζειν χρεόν ἐστι . . . περὶ τοῦ ὁκότερος ἡμέων πλέω ἀγαθὰ τὴν πατρίδα ἐργάσεται.*

COM. Men. 4, 361, 730: *τὸ γνῶθι σαυτὸν πανταχοῦ ἐστι χρήσιμον.*

AR. Eq. 22–3: *ἐξόπισθε νῦν | αὐτὸ φυθὶ τοῦ μόλωμεν.* Nub. 1173–4: *καὶ τοῦτο τοὐπιχώριον | ἀτεχνῶς ἐπανθεῖ, τὸ τί λέγεις σύ;*

EUR. Hipp. 264–5: *τὸ λίαν ἧσσον ἐπαινῶ | τοῦ μηδὲν ἄγαν.*

For the Article as the modifier of a Relative Sentence, see 529.

580. Masculine or Feminine Article with the Genitive Case. — The masculine or feminine article with the genitive merely shows connexion. ὁ is commonly *son*, and ἡ commonly *daughter*, but the precise relation is to be determined from the context. The construction is not used in official documents except in the genitive case, in which the article is obligatory.

μητρὸς δὲ (ἦν) Λιβύης τῆς Ἐπάφου τοῦ Διός, Isoc. 11, 10; *His mother was Libya, who was the daughter of Epaphus, who was the son of Zeus.* **Λυδὸς ὁ Φερεκλέους**, Andoc. 1, 17; *Lydus, the Pherecles boy* (*slave*) = Phereclipor. **τὸν τῆς στρατηγοῦ**, Ar. Eccl. 727; *The she-captain-general's man* (*husband*). **Ἀξιόχου τοῦ Ἀλκιβιάδου**, CIA. I, 274, 8, but **Καλλίας Ἱππονίκου**, *Ibid.* 392 (cf. IV, 1, 392).

Isae. 5, 4: Δικαιογένης ὁμολόγει παραδώσειν ἡμῖν ὧν κατέλιπεν ὁ Μενεξένου τὰ δύο μέρη.

Isoc. 11, 10 (see above).

Andoc. 1, 17: Λυδὸς ὁ Φερεκλέους (sc. δοῦλος) . . . ἐμήνυσε μυστήρια γίγνεσθαι ἐν τῇ οἰκίᾳ Φερεκλέους τοῦ δεσπότου τοῦ ἑαυτοῦ. 19: ὁ . . . ἀπογράψας αὐτὸν Λυδὸς ἦν ὁ Φερεκλέους (sc. δοῦλος). 40 (= 42): Καλλίου τοῦ Τηλεκλέους. 112: Καλλίας ὁ Ἱππονίκου.

Plato, Apol. 33 E: Νικόστρατος ὁ Θεοζοτίδου . . . Πάραλος ὅδε, ὁ Δημοδόκου. 34 A: Ἀδείμαντος ὁ Ἀρίστωνος. Often.

Xen. An. 1, 2, 15: εἶχε . . . τὸ . . . εὐώνυμον Κλέαρχος καὶ οἱ ἐκείνου. 5, 13: ἤλαυνεν ἐπὶ τοὺς Μίνωνος.

Thuc. 1, 115, 4: Πισσούθνῃ τῷ Ὑστάσπου. 127, 1: Περικλέα τὸν Ξανθίππου, but 1, 24, 2: Φιλίος Ἐρατοκλείδου. 2, 67, 1: Σιτάλκην . . . τὸν Τήρεω . . . Φαρνάκην τὸν Φαρναβάζου, but *ibid.* 2: Λέαρχος Καλλιμάχου καὶ Ἀμεινιάδης Φιλήμονος. 4, 104, 4: Θουκυδίδην τὸν Ὀλόρου. 5, 43, 2: Ἀλκιβιάδης ὁ Κλεινίου.

Hdt. 7, 2: ἐξ Ἀτόσσης τῆς Κύρου. 3: Δημάρητος ὁ Ἀρίστωνος. 10: Ἀρτάβανος ὁ Ὑστάσπεος.

Ar. Eq. 327: ὁ δ' Ἱπποδάμου λείβεται θεώμενος. Eccl. 727: τὸν τῆς στρατηγοῦ (sc. ἄνδρα) τοῦτον οὐ θαυμάζετε;

Eur. El. 930–1: πᾶσιν δ' ἐν Ἀργείοισιν ἥκουες τάδε· | ὁ τῆς γυναικός (sc. ἀνήρ), οὐχὶ τἀνδρὸς ἡ γυνή. Hel. 470: Ἑλένη κατ' οἴκους ἐστὶ τούσδ' ἡ τοῦ Διός. Ion, 1286: κἄπτ' ἔκτανες σὺ φαρμάκοις τὸν τοῦ θεοῦ; Tro. 398: Πάριν τ' ἔγημε τὴν Διός.

Soph. Ant. 156: Κρέων ὁ Μενοικέως. 892–3: πορεύομαι | πρὸς τοὺς ἐμαυτῆς. O. R. 489: τῷ Πολύβου. Ph. 402: τῷ Λαρτίου. 628: τὸν Λαερτίου.

Pind. O. 2, 50–2: πρέπει | τὸν Αἰνησιδάμου | ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.

For the occasional ellipsis of such a noun as γῆ, *e.g.* Thuc. 5, 26, 5: φεύγειν τὴν ἐμαυτοῦ, see 33.

581. NEUTER ARTICLE WITH THE GENITIVE CASE. — The neuter article, singular and plural, with the genitive has a varied translation. But the article often serves merely to give especial emphasis, often of dislike, like our English 'this thing of,' and may be left untranslated.

τὰ τοῦ πολέμου, DEM. 1, 4; *War and all that it involves* **τὰ τῶν Θετταλῶν**, 21; *The Thessalian business.* **τὸ τῆς τύχης**, 4, 12; (*The will of*) *fortune.* **τὸ δὲ τῶν χρημάτων**, 28; *As for the* (*matter of*) *money.* **τὸ τῶν πνευμάτων**, 32; *The state of the wind.* **κοινὰ γὰρ τὰ τῶν φίλων** (*property, possessions, of friends*), EUR. Or. 735. **δεῖ φέρειν τὰ τῶν θεῶν** (= **τὰ θεῖα**), Phoen. 382; *One must bear what is sent by the gods, the dispensations of providence.*

DEM. 1, 4 (see above). 21 (see above). 22: **τὰ τῆς τροφῆς**. 25: **τὰ τῶν Ὀλυνθίων**. 4, 10: **τὰ τῶν Ἑλλήνων**. 12 (see above). 28 (see above). 32 (see above). 9, 45: **τὰ τῶν Ἑλλήνων ἢν τῷ βαρβάρῳ φοβέρ', οὐχ ὁ βάρβαρος τοῖς Ἕλλησιν** (**τὰ τῶν Ἑλλήνων** in chiasm with **τοῖς Ἕλλησιν**). 19, 90: **τὰ τῆς χώρας καὶ τὰ τῶν συμμάχων**. 20, 118: **τὸ . . . τῆς γνώμης**. 120: **τὸ τῆς εἰκόνος ἢ τῆς σιτήσεως ἢ τὸ τῆς ἀτελείας**.

LYS. 19, 25: **εἰς τὰ τῆς τριηραρχίας** (so Sch., Frohb., Herw., and, according to Frohb., the only instance in LYS. The MS. reading is **τὰς τριηραρχίας** with marks above seeming to indicate **τὴν τριηραρχίαν**).

PLATO, Legg. 657 D: **τὸ . . . τῶν πρεσβυτέρων** (= **οἱ πρεσβύτεροι**) (123). Phaedr. 230 C: **πάντων δὲ κομψότατον τὸ τῆς πόας** (= **ἡ πόα**). Phileb. 45 E (123). Rpb. 563 C (123).

XEN. An. 1, 3, 9: **τὰ μὲν δὴ Κύρου δῆλον ὅτι οὕτως ἔχει πρὸς ἡμᾶς ὥσπερ τὰ ἡμέτερα πρὸς ἐκεῖνον**. 3, 1, 20: **τὰ . . . τῶν στρατιωτῶν**. Oec. 16, 7: **τὸ τῶν ἁλιέων**.

THUC. 2, 60, 1: **τὰ τῆς ὀργῆς**. 3, 59, 1: **τὸ τῆς ξυμφορᾶς**. 4, 18, 3: **τὸ τῆς τύχης**. 7, 48, 5: **τὰ . . . Συρακοσίων**. 61, 3: **τὸ τῆς τύχης**. 8, 89, 4: **τὸ τῆς ὀλιγαρχίας**.

AR. Eccl. 624: **τὸ δὲ τῶν ἀνδρῶν τί ποιήσει**; (opposed to **τὸ . . . ὑμέτερον** = **τὸ τῶν γυναικῶν**, *The men folk, the women folk*).

EUR. Hel. 276: **τὰ βαρβάρων γὰρ δοῦλα πάντα πλὴν ἑνός**. Ion, 1551: **τὰ δαιμόνων**. Or. 735 (see above). Phoen. 382 (see above). Tro. 27: **νοσεῖ τὰ τῶν θεῶν**. 616: **τὸ τῆς ἀνάγκης δεινόν**.

SOPH. O. C. 268: **τὰ μητρὸς καὶ πατρός**. O. R. 498: **τὰ βροτῶν**. Ph. 300: **τὸ τῆς νήσου**. 497: **τὰ τῶν διακόνων** (= **οἱ διάκονοι**) (123).

AESCHYL. Ag. 32: **τὰ δεσποτῶν**. Pers. 597 (= 1016): **τὰ Περσᾶν**. Sept. 68 (= 193): **τὰ τῶν θύραθεν**. 375: **τὰ τῶν ἐναντίων**. 1047: **τὰ τοῦδ(ε)**. Suppl. 600: **τὰ τῶν ἐγχωρίων**. 1062: **τὰ θεῶν**.

PIND. P. 2, 89: **ὃς** (sc. **θεός**) **ἀνέχει ποτὲ μὲν τὰ κείνων, τότ' αὖθ' ἑτέροις ἔδωκεν μέγα κῦδος**. N. 10, 4: **τὰ Περσέος**.

582. The Article with the Infinitive. — The article is used with the infinitive outside of epic poetry proper. This enables the infinitive to assume all the constructions of the substantive that are not inconsistent with its verbal nature.

Inconsistent with the character of the infinitive as a verb would be the sacrifice of its subject or object.

ἡ τιμὴ τῆς πόλεως becomes τὸ τιμᾶσθαι τὴν πόλιν, Dem. 18, 93. ἡ σωτηρία τῆς νήσου becomes τὸ σῶσαι τὴν νῆσον, Dem. 18, 100. ἡ τοῦ βελτίστου ἄγνοια καὶ τὸ ἀγνοεῖν τὸ βέλτιστον, Plato, Alcib. II, 143 E.

For details of the use of the article with the infinitive, see *Articular Infinitive*.

583. Article in Combination with Pronouns. — The article is used with sundry pronouns, partly coinciding with our idiom, partly differing from it.

584. Article with Personal and Reflexive Pronouns. — Noteworthy is the occasional use, in familiar language, of the article with the personal and the reflexive pronoun.

γέλωτα . . . τὸν ἐμὲ ἐν τοῖς λόγοις ἀπέδειξε, Plato, Theaet. 166 A; *He made a laughingstock of poor me in the debate.*

Plato, Lys. 203 B: δεῦρο δή, ἦ δ' ὅς, εὐθὺ ἡμῶν . . . ποῖ, ἔφην ἐγώ, λέγεις, καὶ παρὰ τίνας τοὺς ὑμᾶς (*the you mentioned*); Phaedr. 258 A: ἔδοξέ πού φησι τῇ βουλῇ . . . , καὶ ὃς εἶπε, τὸν αὐτὸν δὴ λέγων μάλα σεμνῶς . . . ὁ συγγραφεύς. Phileb. 14 D: τοὺς ἐμέ. 20 B: τὸν ἐμέ. 59 B–C: τὸν μὲν δὴ σὲ καὶ ἐμὲ καὶ Γοργίαν καὶ Φίληβον χρὴ συχνὰ χαίρειν ἐᾶν. Soph. 239 B: τὸν μὲν τοίνυν ἐμέ γ' ἔτι τίς ἂν λέγοι; Theaet. 166 A (see above).

Com. Men. 4, 210: νῦν δὲ κατὰ πόλιν | εὗρηκε τὸν ἕτερον, τὸν σέ, τὸν ἐμὲ τουτονί.

585. Article with Interrogatives. — The article with substantive and adjective interrogatives is found chiefly in dramatic poetry and in dialogue. So we sometimes colloquially say "*the what?*"

ΣΩ. διομολογησώμεθα καὶ τόδε. ΠΡΩ. τὸ ποῖον; Plato, Phileb. 11 D; *Let us agree with one another on this also. On what?*

Dem. 18, 64: ἀλλὰ νῦν ἔγωγε τὸν μάλιστ' ἐπιτιμῶντα τοῖς πεπραγμένοις ἡδέως ἂν ἐροίμην, τῆς ποίας μερίδος γενέσθαι τὴν πόλιν ἠβούλετ' ἄν.

Plato, Euthyph. 12 D: δεῖ . . . ἐξευρεῖν τὸ ποῖον μέρος ἂν εἴη τοῦ δικαίου τὸ ὅσιον. Lach. 193 E: τὸ ποῖον δὴ τοῦτο; Phaedo, 78 B: δεῖ . . .

ἐρέσθαι . . . τῷ ποίῳ τινὶ . . . καὶ ὑπὲρ τοῦ ποίου τινὸς . . . καὶ τῷ ποίῳ τινὶ οὔ. Phaedr. 277 A: τὰ ποῖα; 279 A: τὸ ποῖον δή; Phileb. 11 D (see above). Rpb. 475 E: τὸ ποῖον; 550 C: τὴν ποίαν κατάστασιν;

Xen. Oec. 10, 1: καὶ ἄλλα τοίνυν, ἔφη . . . , θέλω σοι . . . μεγαλόφρονα αὐτῆς διηγήσασθαι . . . τὰ ποῖα; ἔφην ἐγώ.

Ar. Ach. 963: ὁ ποῖος οὗτος Λάμαχος τὴν ἔγχελυν; Nub. 748: ΣΤΡ. εἰπὲ δή νύν μοι. ΣΩ. τὸ τί; 775: τὸ τί; 1270: τὰ ποῖα ταῦτα χρήματ' ; Pax, 693: τὰ τί; 696: τὸ τί; Ran. 40: τὸ τί;

Soph. El. 671: τὸ ποῖον; O. C. 893: τὰ ποῖα ταῦτα; O. R. 120: τὸ ποῖον; 291: τὰ ποῖα ταῦτα;

Aeschyl. P. V. 249: τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου;

586. Article with τοιοῦτος and the Like. — τοιοῦτος, τοιόσδε, τηλικοῦτος, τηλικόσδε, τοσοῦτος, τοσόσδε, are treated like ordinary adjectives, and, like them, may be used substantively with the article, or adjectively in the attributive position, but τοσοῦτος and τοσόσδε in either use are rare.

βεβουλευμένως ὁ τοιοῦτος ὑβρίζων ἐστὶν ἤδη φανερός, Dem. 21, 41; *It is plain on the face of it that a man like that is guilty of deliberate outrage.* **πῶς ἂν οὖν ὁ τοιοῦτος ἀνὴρ διαφθείροι τοὺς νέους**; Xen. Mem. 1, 2, 8; *How could any man of that character debauch the youth?* **οἱ τηλικοῦτοι** (*i.e.* **οἱ ἔφηβοι**), Cyr. 1, 2, 11.

Oratores Attici. — Instances of the article with τοιοῦτος are very numerous and references need not be given. The words τηλικόσδε and τοσόσδε seem not to occur and τοιόσδε is rare. τοσοῦτος, though exceedingly common, has furnished no satisfactory instance of the articular use treated in this section.

Dem 18, 305: Blass on the best textual authority reads τούτων (not τῶν) τοσούτων καὶ τοιούτων ἀγαθῶν ὑμῖν . . . ἔχοντες χάριν. 19, 222: ἐκ τῶν ἰδίων τοσούτων χρημάτων is not a good example as τοσούτων is a predicate adjective occupying the attributive position (as *e.g.* αὗται in αἱ μὲν τῶν Πελοποννησίων αὗται νῆες, Thuc. 8, 80, 3). 23, 135 (=145): τὰ τηλικαῦτ(α). 24, 17: περὶ τῶν . . . νόμων, καθ' οὓς εἰσιν αἱ τοιαίδε γραφαί.

Aeschin. 1, 76: τὰ τηλικαῦτα ἐπιτάγματα. 3, 77: οὗτος . . . ὁ τηλικοῦτος τὸ μέγεθος κόλαξ. 141.

Isoc. 12, 55: καθ' ἕκαστον μὲν οὖν διεξιέναι περὶ τῶν τοιούτων καὶ τοσούτων τὸ πλῆθος ἀνόητόν ἐστιν (τῶν need not be understood with τοσούτων). 117: τῇ πόλει, τῇ τηλικαύτῃ μὲν τὸ μέγεθος, τοιαύτην δ' ἐχούσῃ δόξαν.

Plato, Apol. 25 E: ὥστε τοῦτο τὸ τοσοῦτον κακὸν ἑκὼν ποιῶ. Ax. 370 C: τὴν τῶν τηλικῶνδε περίνοιαν. Conv. 179 A: οἱ τοιοῦτοι. Crat. 426 E: ἐν τοῖς τοιοῖσδε ῥήμασιν, οἷον κτέ. 427 A: πάντα τὰ τοιαῦτα. Euthyd. 277 E: ἐπὶ τῷ τοιῷδε ὅταν κτέ. Gorg. 476 B: τὸ τοιόνδε. Legg.

667 D: ἡ ἰσότης . . . τοῦ τε τοσούτου καὶ τοῦ τοιούτου (i.e. *quantitatis et qualitatis*). 670 D: τοῖς τηλικούτοις. 672 B: τὸ δὲ τοσόνδε οἶδα ὅτι κτέ. 755 B: τὴν τηλικαύτην ἀρχήν. Phaedr. 261 E: τὸ τοιοῦτον. Phileb. 46 A: τῶν τοιῶνδε νοσημάτων. Rpb. 430 B: τὴν . . . τοιαύτην δύναμιν. Soph. 236 B: τὰ τηλικαῦτα. Theaet. 167 E: ἐν τῷ τοιούτῳ ὅταν κτέ.

Xen. Cyr. 1, 2, 11: οἱ τηλικοῦτοι (see above). 6, 19: ὁ τοιοῦτος. 3. 3, 35: ἐν τῷ τοιῷδε. Hell. 5, 4, 13: τοῖς τηλικούτοις (masc.). Mem. 1, 2, 8: ὁ τοιοῦτος ἀνήρ (see above). R. L. 3, 2 (= 4, 7): τοῖς τηλικούτοις.

Thuc. 1, 141, 4: οἱ τοιοῦτοι. 2, 42, 2: αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταί. 3, 42, 4: ἐν τῷ τοιῷδε. 6, 9, 2: ὁ τοιοῦτος. 16, 2: τὰ τοιαῦτα. 17, 4: τὸν τοιοῦτον ὅμιλον.

Ar. Nub. 812: τὰ τοιαῦθ'. Pax, 1280: τὰ τοιαυτί. Eccl. 1009: τοῖς τηλικούτοις. 1010: ταῖς . . . τηλικαύταις.

Soph. Ai. 330: οἱ τοιοίδε. Ant. 726-7: οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ | φρονεῖν ὑπ' ἀνδρὸς τηλικοῦδε τὴν φύσιν. O. C. 1116: ταῖς τηλικαῖσδε σμικρὸς ἐξαρκεῖ λόγος. 1208: τὰ τοιαῦτ(α). O. R. 674: αἱ δὲ τοιαῦται φύσεις. 895: αἱ τοιαίδε πράξεις.

Aeschyl. Ag. 1619-20: διδάσκεσθαι βαρὺ | τῷ τηλικούτῳ.

Pind. O. 9, 40: μὴ νῦν λαλάγει τὰ τοιαῦτ(α).

For τοιοῦτος, τοιόσδε, etc. in predicate position, see 627 sqq. The anarthrous use is very common and requires no array of examples.

587. ὁ ἕτερος. — ὁ ἕτερος, *the other*, is specific or indefinite (*the one of two* or *of any two*); ἕτερος in prose is indefinite only.

ἀπέθανε δὲ καὶ ὁ ἕτερος στρατηγὸς Προκλῆς, Thuc. 3, 98, 5; *Procles, one of the two generals, was killed also.* **Πλειστοάναξ ὁ ἕτερος βασιλεὺς . . . ἐβοήθησε**, Thuc. 5, 75, 1; *Pleistoanax, the other king, started off with reinforcements.* **ἑτέρας πόλεως πολίτης**, Antiphon, 5, 78; *A citizen of another city.* **καὶ τὸν ἕτερον ὁ ἕτερος οὐδὲν ἡγεῖται εἰδέναι**, Plato, Theaet. 180 C; *And (the) one thinks the other* (indefinite series) *knows nothing.* **χωλὸς δ' ἕτερον (= τὸν ἕτερον) πόδα**, Hom. Il. 2, 217; *He was lame of one foot.*

588. ὁ ἕτερος. *Specific.*

Dem. 23, 103: τοῖς . . . τῶν ἑτέρων (*the other*) βασιλέων στρατηγοῖς.

Aeschin. 3, 40: εἰ τοίνυν . . . ἦσαν δύο κείμενοι νόμοι . . ., ἀνήρητ' ἂν ὁ ἕτερος (*one of the two*) τῶν νόμων.

Antiphon, 5, 23: μετεξέβημεν εἰς τὸ ἕτερον (*the other*) πλοῖον. 42: ὁ ἕτερος (*the other*) ἄνθρωπος.

Plato, Legg. 695 B: παραλαβόντες δ' οὖν οἱ παῖδες . . . πρῶτον μὲν τὸν ἕτερον ἄτερος ἀπέκτεινε κτέ.

Thuc. 3, 89, 3: δύο νεῶν ἀνειλκυσμένων τὴν ἑτέραν (*one of the two*) κατέαξεν. 98, 5 (see 587). 5, 75, 1 (see 587). 7, 41, 3: δύο δὲ νῆες τῶν Συρακοσίων . . . διεφθάρησαν, καὶ ἡ ἑτέρα (*one of them*) αὐτοῖς ἀνδράσιν ἑάλω.

Hdt. 1, 38: εἰς γάρ μοι μοῦνος τυγχάνεις ἐὼν παῖς· τὸν γὰρ δὴ ἕτερον διεφθαρμένον τὴν ἀκοὴν οὐκ εἶναί μοι λογίζομαι.

Ar. Nub. 244: ἀλλά με δίδαξον τὸν ἕτερον τοῖν σοῖν λόγοιν.

Eur. Phoen. 951–2: τοῖνδ' ἑλοῦ δυοῖν πότμοιν | τὸν ἕτερον.

Soph. El. 739-40: ἠλαυνέτην, τότ' ἄλλος, ἄλλοθ' ἄτερος | κάρα προβάλλων ἱππικῶν ὀχημάτων. O.C. 497: σφῷν δ' ἀτέρα μολοῦσα πραξάτω τάδε.

Aeschyl. Ag. 343–4: νοστίμου σωτηρίας | κάμψαι διαύλου θάτερον κῶλον πάλιν. P. V. 778: δυοῖν λόγοιν σε θατέρῳ δωρήσομαι. 867: δυοῖν δὲ θάτερον βουλήσεται.

Solon, 27, 3: τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς.

Archil. 93: τῇ μὲν ὕδωρ ἐφόρει | δολοφρονέουσα χειρί, τἠτέρῃ δὲ πῦρ.

Hom. Od. 5, 265–6: ἐν δέ οἱ ἀσκὸν ἔθηκε θεὰ μέλανος οἴνοιο | τὸν ἕτερον, ἕτερον δ' ὕδατος μέγαν. 22, 183–4: τῇ ἑτέρῃ μὲν χειρὶ φέρων καλὴν τρυφάλειαν, | τῇ δ' ἑτέρῃ σάκος εὐρύ.

Il. 9, 218–9: αὐτὸς δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο | τοίχου τοῦ ἑτέροιο. 14, 272–3: χειρὶ δὲ τῇ ἑτέρῃ μὲν . . . | τῇ δ' ἑτέρῃ. 21, 71–2: τῇ ἑτέρῃ μὲν . . . | τῇ δ' ἑτέρῃ.

589. ὁ ἕτερος *Indefinite:*

Plato, Protag. 359 A: πάντε ὄντων μορίων τῆς ἀρετῆς οὐδὲν ἔφη εἶναι τὸ ἕτερον οἷον τὸ ἕτερον. Theaet. 180 B–C: οὐδὲ γίγνεται τῶν τοιούτων ἕτερος ἑτέρου μαθητής, ἀλλ' αὐτόματοι ἀναφύονται . . . καὶ τὸν ἕτερον ὁ ἕτερος οὐδὲν ἡγεῖται εἰδέναι.

Xen. An. 5, 4, 31: ἀναβοώντων δὲ ἀλλήλων συνήκουον εἰς τὴν ἑτέραν ἐκ τῆς ἑτέρας πόλεως. 6, 1, 5–6: καὶ ἤλλοντο ὑψηλά τε καὶ κούφως . . . τέλος δὲ ὁ ἕτερος τὸν ἕτερον παίει . . . ὃ δ' ἔπεσε τεχνικῶς πως . . . καὶ ὃ μὲν σκυλεύσας τὰ ὅπλα τοῦ ἑτέρου ἐξῄει . . . ἄλλοι δὲ τῶν Θρᾳκῶν τὸν ἕτερον ἐξέφερον ὡς τεθνηκότα. Hell. 2, 2, 3: καὶ οἰμωγὴ . . . εἰς ἄστυ διῆκεν, ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλλων.

Hdt. 1, 32: ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ . . . οὐδὲν ὅμοιον προσάγει πρῆγμα. 134: ἦν δὲ ἧ οὗτερος ὑποδεέστερος ὀλίγῳ. τὰς παρειὰς φιλέοντοι· ἦν δὲ πολλῷ ἧ οὗτερος ἀγεννέστερος, προσπίπτων προσκυνέει τὸν ἕτερον.

590. ἕτερος *Indefinite:*

Dem. 3, 18: ἕτερος λέγει τις βελτίω; 18, 201: ἕτεροι χωρὶς ἡμῶν. 219: Ἀριστοφῶν Κέφαλος Θρασύβουλος, ἕτεροι μυρίοι. 19, 265: ἕτερος δέ τις ἦκεν ἔχων πρόβατα. 21, 139: καὶ πρὸς τούτοις ἕτεροι. [33], 30: ὁπότε δ' αἱ μὲν ἐξ ἀρχῆς συνθῆκαι ἠφανίσθησαν, . . . ἕτεραι δὲ μὴ ἐγράφησαν.

Plato, Legg. 920 E: τέχναισιν ἑτέραις. Phaedr. 233 D: ἐξ ἑτέρων ἐπιτηδευμάτων. Elsew.

Xen. An. 1, 4, 2: ἦγεῖτο δ' αὐταῖς Ταμὼς . . . ἔχων ναῦς ἑτέρας Κύρου πέντε καὶ εἴκοσιν.

Thuc. 1, 26, 3: πλεύσαντες εὐθὺς πέντε καὶ εἴκοσι ναυσὶ καὶ ὕστερον ἑτέρῳ στόλῳ.

HDT. 3, 100: ἑτέρων δέ ἐστι Ἰνδῶν ὅδε ἄλλος τρόπος.

AR. Ach. 135: ἕτερος ἀλαζών. Eq. 134: ἕτερος ἀνήρ. Vesp. 150: ὡς ἕτερος οὐδεὶς ἀνήρ.

EUR. Heracl. 362: πόλιν ἐλθὼν ἑτέραν. H. F. 912: μάντιν οὐχ ἕτερον ἄξομαι. Med. 652–3: εἴδομεν, οὐκ ἐξ ἑτέρων | μῦθον ἔχω φράσασθαι. Or. 345–6: τίνα . . . οἶκον ἄλλον | ἕτερον; Suppl. 573: πολλοὺς ἔτλην δὴ χἀτέρους ἄλλους πόνους.

SOPH. Ant. 569: ἀρώσιμοι γάρ εἰσι χἀτέρων γύαι. O. C. 1192: εἰσὶ χἀτέροις γοναὶ κακαί. Tr. 459–60: οὐχὶ χἀτέρας | πλείστας . . . ἔγημε δή; 835: πῶς ὅδ' ἂν ἀέλιον ἕτερον ἢ τανῦν ἴδοι;

AESCHYL. Ag. 147: σπευδομένα θυσίαν ἑτέραν. Cho. 403–4: ἄτην | ἑτέραν ἐπάγουσαν ἐπ' ἄτῃ. Eum. 176–7: ἕτερον . . . | μιάστορ(α).

PIND. O. 7, 86–7: οὐχ ἕτερον λιθίνα | ψᾶφος ἔχει λόγον. P. 2, 89: τότ' αὖθ' ἑτέροις ἔδωκεν μέγα κῦδος. 4, 248: πολλοῖσι δ' ἄγημαι σοφίας ἑτέροις. N. 8, 37: χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι.

HOM. Od. 9, 299–302: τὸν μὲν ἐγὼ βούλευσα . . . οὐτάμεναι πρὸς στῆθος . . . ἕτερος δέ με θυμὸς ἔρυκεν.

591. ἕτερος *Specific:*

THUC. (after οὐδέ, μηδέ). 2, 67, 4: καὶ τοὺς μετὰ Ἀθηναίων ξυμπολεμοῦντας καὶ τοὺς μηδὲ μεθ' ἑτέρων. 72, 1: ἔστε μηδὲ μεθ' ἑτέρων, δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ μηδ' ἑτέρους. 3, 64, 3. 5, 48, 1. 6, 44, 3: οἳ δὲ οὐδὲ μεθ' ἑτέρων ἔφασαν ἔσεσθαι. Elsew.

HES. O. et D. 434: εἴ χ' ἕτερον (sc. ἄροτρον) ἄξαις, ἑτερόν κ' ἐπὶ βουσὶ βάλοιο. Theog. 762–4: τῶν (sc. Ὕπνου καὶ Θανάτου) ἕτερος μὲν . . . μείλιχος ἀνθρώποισι, | τοῦ δὲ σιδηρέη μὲν κραδίη.

HOM. Od. 3, 440–1: χέρνιβα δέ σφ' Ἄρητος . . . | ἤλυθεν . . . φέρων, ἑτέρῃ δ' ἔχεν οὐλάς. 5, 265–6 (588).

Il. 2, 217: φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα (587).

592. **ἕτερος ἕτερον.** — ἕτερος ἕτερον, like ἄλλος ἄλλον (598), denotes a successive shift of both subject and object. The same relation holds with the other cases.

μυρίον μέντοι (sc. ἐγώ φημι) διαφέρειν ἕτερον ἑτέρου, PLATO, Theaet. 166 D; *But I maintain that there is an infinite difference between any two (of us).*

ISOC. 19, 24: οὕτως αὐτὸν ἐθεράπευσα, ὡς οὐκ οἶδ' ὅστις πώποθ' ἕτερος ἕτερον.

PLATO, Theaet. 166 D (see above). 171 D: τὸ εἶναι σοφώτερον ἕτερον ἑτέρου. 180 B: οὐδὲ γίγνεται τῶν τοιούτων ἕτερος ἑτέρου μαθητής.

THUC. 2, 51, 1: ὡς ἑκάστῳ ἐτύγχανέ τι διαφερόντως ἑτέρῳ πρὸς ἕτερον γιγνόμενον. 4: ἕτερος ἀφ' ἑτέρου θεραπείᾳ ἀναπιμπλάμενοι ὥσπερ τὰ πρόβατα ἔθνησκον. 7, 64, 2: εἴ τίς τι ἕτερος ἑτέρου προφέρει ἢ ἐπιστήμῃ ἢ εὐψυχίᾳ.

Eur. Alc. 893–4: συμφορὰ δ' ἑτέρους ἑτέρα | πιέζει φινεῖσα θνατῶν. Bacch. 905–6: ἕτερα δ' ἕτερος ἕτερον | ὅλβῳ καὶ δυνάμει παρῆλθεν. Elsew.

Soph. O. C. 230–2: ἀπάτα δ' ἀπά-|ταις ἑτέραις ἑτέρα παραβαλλομέ-|να.

Bacchyl. fr. 5 (Bl.): ἕτερος ἐξ ἑτέρου σοφὸς τό τε πάλαι τό τε νῦν.

Hes. O. et D. [189]: ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει.

593. **ὁ ἕτερος (ἕτερος) in a Bad Sense.** — ὁ ἕτερος (ἕτερος) is sometimes used in the sense of *bad, hostile*. Familiar is the phrase πλέον θάτερον ποιεῖν, *to make bad worse*. Cf. the English "to laugh on the other side of the mouth."

Dem. 22, 12: ὅσα πώποτε τῇ πόλει γέγον' ἢ νῦν ἔστ' ἀγάθ' ἢ θάτερα. (Cf. Lys. 12, 48: ἀγαθοῦ μὲν οὐδενὸς μετέσχεν, ἄλλων δὲ πολλῶν.)

Isoc. 19, 25: ἀλλ' οὐδ' ἐπισκεψόμενος ἀφίκετο (sc. οὐδεὶς τῶν συγγενῶν) πλὴν τῆς μητρὸς καὶ τῆς ἀδελφῆς, αἳ πλέον θάτερον ἐποίησαν.

Plato, Euthyd. 280 E: πλέον γάρ που, οἶμαι, θάτερόν ἐστιν, ἐάν τις χρῆται ὁτῳοῦν μὴ ὀρθῶς πράγματι ἢ ἐὰν ἐᾷ. Phaedo, 114 E: ὡς ἀλλοτρίους τε ὄντας (sc. τοὺς κόσμους) καὶ πλέον θάτερον ἡγησάμενος ἀπεργάζεσθαι.

Soph. Ph. 501–3: εἰσορῶν | ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς | κεῖται, παθεῖν μὲν εὖ, παθεῖν δὲ θάτερα.

Pind. P. 3, 34–5: δαίμων δ' ἕτερος | ἐς κακὸν τρέψαις ἐδαμάσσατό νιν. Cf. N. 8, 3: τὸν μὲν ἀμέροις ἀνάγκας χερσὶ βαστάζεις, ἕτερον δ' ἑτέραις.

594. **ἄλλος, ὁ ἄλλος.** — ἄλλος means *another* (*a different one*); ὁ ἄλλος, *the other, the rest*. So οἱ ἄλλοι.

συνηκολούθησαν δὲ . . . καὶ τῶν ἄλλων στρατιωτῶν ὡς διακόσιοι, Xen. An. 2, 5, 30; *There followed also of the other soldiers about two hundred.* **συνηκολούθουν δὲ καὶ ἄλλοι Περσῶν . . . εἰς τριακοσίους,** Xen. An. 2, 5, 35; *There followed also other(s of the) Persians to the number of three hundred.* **ἦσαν δὲ καὶ ἄλλαι κῶμαι πολλαὶ . . . ἐν τούτῳ τῷ πεδίῳ,** Xen. An. 3, 5, 1; *There were also many other villages in the plain.*

595. ἄλλος:

Xen. An. 2, 5, 35 (594). 3, 5, 1 (594). 7, 1, 37: καὶ ἄλφιτα φέροντες εἵποντο αὐτῷ εἴκοσιν ἄνδρες καὶ οἶνον ἄλλοι εἴκοσι.

Thuc. 1, 67, 4: ἄλλοι . . . ἐγκλήματα ἐποιοῦντο. 8, 86, 5: ἄλλος . . . οὐδεὶς ἂν ἱκανὸς ἐγένετο κατασχεῖν τὸν ὄχλον.

Ar. Av. 808: οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς.

Eur. fr. 170, 1: οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος.

Hom. Od. 2, 139: ἔξιτέ μοι μεγάρων, ἄλλας δ' ἀλεγύνετε δαῖτας.

Il. 6, 187: τῷ δ' ἄρ' ἀνερχομένῳ πυκινὸν δόλον ἄλλον ὕφαινεν.

596. ὁ ἄλλος:

Dem. [58], 14: δύο μὲν τοίνυν οὗτοι νόμοι εἰσὶν οὓς παραβέβηκεν ὁ τοὺς ἄλλους παρανόμων γραφόμενος.

PLATO, Phaedo, 86 C: αἱ ἄλλαι ἁρμονίαι αἵ τ' ἐν τοῖς φθόγγοις κτέ.

XEN. An. 2, 5, 30 (594). 3, 4, 49: οἱ δ' ἄλλοι στρατιῶται παίουσι . . . τὸν Σωτηρίδαν.

THUC. 5, 29, 2: ἀποστάντων δὲ τῶν Μαντινέων καὶ ἡ ἄλλη Πελοπόννησος ἐς θροῦν καθίστατο.

EUR. Hel. 304–5: αἱ μὲν γὰρ ἄλλαι διὰ τὸ κάλλος εὐτυχεῖς | γυναῖκες.

HOM. Od. 1, 156–7: αὐτὰρ Τηλέμαχος προσέφη γλαυκῶπιν Ἀθήνην, | ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίατ' οἱ ἄλλοι.

Il. 6, 402–3: τόν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι | Ἀστυάνακτ(α).

597. ἄλλος = ὁ ἄλλος. — ἄλλος is often used in Homer as ὁ ἄλλος. Cf. the Latin *alii* for *ceteri*.

ἄλλοι μέν ῥα θεοὶ . . . | εὗδον παννύχιοι, Δία δ' οὐκ ἔχεν ἥδυμος ὕπνος, HOM. Il. 2, 1–2; *The other gods slept all night long, but in sweet sleep's embrace Zeus was not held.*

HOM. Od. 3, 333–4: ὄφρα Ποσειδάωνι καὶ ἄλλοις ἀθανάτοισιν | σπείσαντες κοίτοιο μεδώμεθα. 4, 472: Διί τ' ἄλλοισίν τε θεοῖσιν. 10, 284–5: οὐδὲ σέ φημι | αὐτὸν νοστήσειν, μενέεις δὲ σύ γ' ἔνθα περ ἄλλοι.

Il. 1, 17: Ἀτρεΐδαι τε καὶ ἄλλοι ἐυκνήμιδες Ἀχαιοί. 397–9: ἔφησθα . . . Κρονίωνι | οἴῃ . . . λοιγὸν ἀμῦναι, | ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι. 2, 1–2 (see above). 211–2: ἄλλοι μέν ῥ' ἕζοντο . . . | Θερσίτης δ' ἔτι μοῦνος . . . ἐκολῴα. 3, 298: Ζεῦ κύδιστε μέγιστε καὶ ἀθάνατοι θεοὶ ἄλλοι.

598. ἄλλος ἄλλον. — ἄλλος ἄλλον denotes a successive shift of both subject and object. The same relation holds with the other cases and with adverbial forms.

παραλαμβάνων ἄλλος ἄλλον ἐπ' ἄλλου . . . χρείᾳ, PLATO, Rpb. 369 C; *Different persons taking different helpers for different needs.* μεταδίδωσι δὴ ἄλλος ἄλλῳ, *Ibid.; They share with one another.* εὐθὺς πόρρωθεν ἠσπάζοντο ἄλλος ἄλλοθεν, Charm. 153 B; *They forthwith greeted* (*me*) *at a distance from one place and another.*

PLATO, Apol. 37 D: καλὸς οὖν ἄν μοι ὁ βίος εἴη . . . ἄλλην ἐξ ἄλλης πόλιν πόλεως ἀμειβομένῳ καὶ ἐξελαυνομένῳ ζῆν. Charm. 153 B: ἄλλος ἄλλοθεν (see above). C: ἠρώτων δὲ ἄλλος ἄλλο. Conv. 220 C: καὶ θαυμάζοντες ἄλλος ἄλλῳ ἔλεγεν. Rpb. 369 C: ἄλλος ἄλλον ἐπ' ἄλλου . . . χρείᾳ . . . ἄλλος ἄλλῳ (see above).

XEN. An. 1, 6, 11: ἤκαζον δὲ ἄλλοι ἄλλως. 2, 1, 15: οὗτοι . . . ἄλλος ἄλλα λέγει. 4, 8, 19: οἱ δὲ πολέμιοι . . . οὐκέτι ἔστησαν, ἀλλὰ φυγῇ ἄλλος ἄλλῃ ἐτράπετο.

THUC. 1, 16: ἐπεγένετο . . . ἄλλοις . . . ἄλλοθι κωλύματα. 2, 4, 4: ἄλλοι δὲ ἄλλῃ . . . ἀπώλλυντο. 7, 71, 6: ὁ μὲν ναυτικὸς στρατός, ἄλλος ἄλλῃ . . . κατενεχθέντες. 8, 86, 4: γνώμας ἄλλοι ἄλλας ἔλεγον. Elsew.

AR. Av. 1374: πέτομαι δ' ὁδὸν ἄλλοτ' ἐπ' ἄλλαν μελέων (parody).

Eur. Hipp. 104: ἄλλοισιν ἄλλος θεῶν τε κἀνθρώπων μέλει. Ph. 1248–9: παρεξιόντες δ' ἄλλος ἄλλοθεν φίλων | λόγοισι θαρσύνοντες ἐξηύδων τάδε.

Soph. Ai. 58: ἄλλοτ' ἄλλον ἐμπίτνων στρατηλατῶν. El. 582: εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου. 728–9: κἀντεῦθεν ἄλλος ἄλλον ἐξ ἑνὸς κακοῦ | ἔθρανε.

Aeschyl. Ag. 595–6: ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν | ἔλασκον εὐφημοῦντες. P. V. 276: πρὸς ἄλλοτ' ἄλλον πημονὴ προσιζάνει. Sept. 1070–1: καὶ πόλις ἄλλως | ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια.

Bacchyl. 13 [21]: πάντεσσι θνατοῖσι δαίμων ἐπέταξε πόνους ἄλλοισιν ἄλλους.

Pind. O. 1, 116: ἐπ' ἄλλοισι δ' ἄλλοι μεγάλοι. 7, 11: ἄλλοτε δ' ἄλλον ἐποπτεύει Χάρις. 8, 12–13: ἄλλα δ' ἐπ' ἄλλον ἔβαν | ἀγαθῶν. P. 2, 13–4: ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ | εὐαχέα βασιλεῦσιν ὕμνον. Elsew.

Hom. Il. 2, 75: ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν. 9, 311: ὡς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος. 11, 486: Τρῶες δὲ διέτρεσαν ἄλλυδις ἄλλος. 13, 279: τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ.

599. ἄλλος AND ἕτερος WITH APPOSITIVE FORCE. — Both ἄλλος and (more rarely) ἕτερος have an appositive force, which the corresponding words lack in English. The rendering is generally "*too*," "*besides*," but sometimes the translation of the contrast would be too cumbrous.

οὐ γὰρ ἦν χόρτος οὐδὲ ἄλλο οὐδὲν δένδρον, Xen. An. 1, 5, 5; *There was no grass nor any tree besides.* **ἡγεῖτο δ' αὐταῖς** (= the Lacedaemonian ships) **Ταμὼς . . . ἔχων ναῦς ἑτέρας Κύρου πέντε καὶ εἴκοσιν** (*with twenty-five additional ships that belonged to Cyrus*, not *twenty-five others of Cyrus's*), Xen. An. 1, 4, 2.

Isoc. 4, 26–7: εὑρήσομεν γὰρ αὐτὴν οὐ μόνον τῶν πρὸς τὸν πόλεμον ἀλλὰ καὶ τῆς ἄλλης κατασκευῆς ἐν ᾗ κατοικοῦμεν . . . σχεδὸν ἁπάσης αἰτίαν οὖσαν. 5, 148: καὶ γὰρ ἐκείνων μᾶλλον ἄγανται τὴν ἧτταν τὴν ἐν Θερμοπύλαις ἢ τὰς ἄλλας νίκας. 6, 16. 10, 66.

Plato, Gorg. 473 D: εὐδαιμονιζόμενος ὑπὸ τῶν πολιτῶν καὶ τῶν ἄλλων ξένων. Phaedo, 110 E: ἃ καὶ λίθοις καὶ γῇ καὶ τοῖς ἄλλοις ζῴοις τε καὶ φυτοῖς αἴσχη τε καὶ νόσους παρέχει.

Xen. An. 1, 4, 2 (see above). 1, 5, 5 (see above). 5, 2, 31–2: καὶ οἱ μὲν ἄλλοι Κρῆτες . . . ὁ Μυσὸς δέ (who is described § 29 as ἀνὴρ Μυσὸς καὶ τοὔνομα τοῦτο ἔχων). 7, 3, 48: συνηλίσθησαν ἀνδράποδα μὲν ὡς χίλια, βόες δὲ δισχίλιοι, πρόβατα ἄλλα μύρια. Cyr. 1, 6, 2. 38. 6, 3, 11. Elsew.

Thuc. 2, 14, 1: παῖδας καὶ γυναῖκας καὶ τὴν ἄλλην κατασκευὴν ᾗ κατ' οἶκον ἐχρῶντο. 4, 67, 2: οἱ δὲ μετὰ τοῦ Δημοσθένους . . . Πλαταιῆς τε ψιλοὶ καὶ ἕτεροι περίπολοι ἐνήδρευσαν ἐς τὸ Ἐνυάλιον. 5, 75, 3: ἔς τε μαλακίαν . . . καὶ ἐς τὴν ἄλλην ἀβουλίαν τε καὶ βραδυτῆτα.

Hdt. 1, 216: ἐπεὰν δὲ γέρων γένηται κάρτα οἱ προσήκοντες . . . θύουσί μιν καὶ ἄλλα πρόβατα ἅμα αὐτῷ. 3, 88: γάμους τε τοὺς πρώτους ἐγάμεε . . . ὁ Δαρεῖος, Κύρου μὲν δύο θυγατέρας . . . ἑτέρην δὲ Σμέρδιος τοῦ Κύρου θυγατέρα ἔγημε . . . ἔσχε δὲ καὶ τὴν τοῦ Ὀτάνεω θυγατέρα.

Ar. Eccl. 848-9: Γέρων δὲ χωρεῖ . . . καχάζων μεθ' ἑτέρου νεανίου.

Soph. O. R. 6-7: ἀγὼ δικαιῶν μὴ παρ' ἀγγέλων, τέκνα, | ἄλλων ἀκούειν αὐτὸς ὧδ' ἐλήλυθα. Ph. 38-9: καὶ ταῦτά γ' ἄλλα θάλπεται | ῥάκη, "*And here are some rags withal, drying in the sun.*" — Jebb.

Hom. Od. 1, 132-4: πὰρ δ' αὐτὸς κλισμὸν θέτο ποικίλον ἔκτοθεν ἄλλων | μνηστήρων, μὴ ξεῖνος ἀνιηθεὶς ὁρυμαγδῷ | δείπνῳ ἀδήσειεν. 6, 84: ἅμα τῇ γε (sc. Ναυσικάᾳ) καὶ ἀμφίπολοι κίον ἄλλαι.

Il. 2, 191: ἀλλ' αὐτός (*i.e.* βασιλεύς or ἔξοχος ἀνήρ v. 188) τε κάθησο καὶ ἄλλους ἴδρυε λαούς.

600. οἱ πολλοί, οἱ ὀλίγοι, ETC. — *οἱ πολλοί* means *the masses*, *οἱ ὀλίγοι*, *the few*, *the aristocracy*, *τὸ πολύ*, *the mass* (opposed to the remnant), *τὸ πλέον*, *the majority* (opposed to the minority), *τὸ πλεῖστον*, *the greatest number* (opposed to individuals).

οἱ μὲν οὖν πολλοὶ Μακεδόνων πῶς ἔχουσι Φιλίππῳ, ἐκ τούτων ἄν τις σκέψαιτ' οὐ χαλεπῶς, Dem. 2, 17. οἱ πολλοὶ κρίνουσι τὰς ἡδονὰς εἰς τὸ ζῆν ἡμῖν εὖ κρατίστας εἶναι, Plato, Phileb. 67 B. τῶν . . . πολεμίων τὸ μὲν πολὺ ἔμενεν . . ., μέρος δ' αὐτῶν ἀπήντα τοῖς κατὰ τὰ ἄκρα, Xen. An. 4, 6, 24. μὴ τοῖς μὲν ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε, Thuc. 3, 39, 6. ἀποπέμπει δὲ καὶ τῆς στρατιᾶς τὸ πλέον, Thuc. 3, 35, 2. τοῦ . . . ἱππικοῦ τὸ πλεῖστον αὐτοὶ Ὀδρύσαι παρείχοντο καὶ μετ' αὐτοὺς Γέται, Thuc. 2, 98, 4. καὶ οἱ μὲν πλεῖστοι ἐξέφυγον . . . ὅσους δὲ ἔλαβε κατηκόντισεν ἀφειδῶς Σεύθης, Xen. Hell. 7, 4, 6.

601. οἱ πολλοί, ὀλίγοι WITH DEMONSTRATIVE USE OF THE ARTICLE. — Of course the demonstrative (resumptive) force is not excluded.

τὸ . . . πρῶτον αὐτοῖς τοὺς ὀλίγους ἱππέας ἔπεμψαν, Thuc. 6, 88, 1; *At first they sent them the poor handful of cavalry* (*above mentioned*).

Dem. 9, 59: καὶ τί δεῖ τὰ πολλὰ λέγειν; *And why is it necessary to talk this lot of stuff?* (τὰ πολλά contemptuous.)

Plato, Phaedr. 270 A: ὧν δὴ πέρι τὸν πολὺν λόγον (*that interminable preachment*) ἐποιεῖτο Ἀναξαγόρας.

Thuc. 1, 86, 1: τοὺς μὲν λόγους τοὺς πολλοὺς τῶν Ἀθηναίων οὐ γιγνώσκω. 2, 51, 5: καὶ τὰς ὀλοφύρσεις τῶν ἀπογιγνομένων τελευτῶντες καὶ οἱ οἰκεῖοι ἐξέκαμνον ὑπὸ τοῦ πολλοῦ κακοῦ νικώμενοι. 6, 88, 1 (see above).

Ar. Ran. 555: καὶ τὰ σκόροδα τὰ πολλά. 558: τὸ πολὺ τάριχος οὐκ εἴρηκά πω.

Soph. El. 930-1: τοῦ γὰρ ἀνθρώπων ποτ' ἦν | τὰ πολλὰ πατρὸς πρὸς τάφον κτερίσματα;

AESCHYL. fr. 353: *ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοί, | ὅσπερ μέγιστον ῥῦμα τῶν πολλῶν κακῶν.*

PIND. O. 13, 93–5: *ἐμὲ δ(ὲ) . . . παρὰ σκοπὸν οὐ χρὴ | τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν.*

602. POSITION OF THE ARTICLE. — The article always precedes in prose. In Homer the article, accompanied by a relative clause, rarely follows in the sense of the reduplicated article οὗτος.

οὐ . . . θέμις ἐστὶ κομιζέμεν . . . | ἄνδρα τόν, ὅς κε θεοῖσιν ἀπέχθηται, HOM Od. 10, 73–4; *Not lawful is it to take care of a man, of such a man as has made himself detestable in the sight of the gods.*

HOM. Od. 10, 73–4 (see above). 21, 42–4: *ὅτε δὴ θάλαμον τὸν ἀφίκετο . . . | . . . τόν ποτε τέκτων | ξέσσεν ἐπισταμένως.* 24, 83–4: *ἀνδράσιν . . . | τοῖς οἳ νῦν γεγάασι.*

Il. 5, 319–20: *οὐ δ' . . . ἐλήθετο συνθεσιάων | τάων, ἃς ἐπέτελλε . . . Διομήδης.* 331–2: *οὐδὲ θεάων | τάων, αἵ τ(ε).* 9, 630–1: *οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων | τῆς, ἥ.* 13, 593–4: *χεῖρα . . . | τὴν βάλεν, ἥ.*

603. REPETITION AND NON-REPETITION OF THE ARTICLE. — The article may be common to a number of copulated substantives, even when they are of different genders or numbers, or it may be repeated with each member. Theoretically the repetition compels a separate consideration while the omission suggests unity. Practically the Greeks were almost as loose as we are prone to be, and a sharp difference cannot be made.[1]

Theoretically then:

οἱ . . . στρατηγοὶ καὶ οἱ λοχαγοί, XEN. An. 3, 5, 14, *the generals and the captains* (as different classes of officers), but **οἱ στρατηγοὶ καὶ λοχαγοί** (cf. *ibid.* 1, 7, 2), *the generals and captains* (officers as distinguished from the privates).

Practically:

τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον καὶ τὸ ταὐτὸν καὶ ἕτερον, PLATO, Theaet. 186 A; *The like and the unlike and the identical and different.* **οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία,** THUC. 1, 102, 4.

604. *Repetition of the Article:*

DEM. 1, 22: *τοὺς λιμένας καὶ τὰς ἀγοράς.* 18, 2: *τῇ τάξει καὶ τῇ ἀπολογίᾳ.* 7: *τὰς αἰτίας καὶ τὰς διαβολάς.* 12: *τῶν μέντοι κατηγοριῶν καὶ τῶν αἰτιῶν.* 17. 35.

[1] See A. J. P. vi (1885), 486.

Lys. 12, 35: πολλοὶ καὶ τῶν ἀστῶν καὶ τῶν ξένων. 43: ἡ ναυμαχία καὶ ἡ συμφορά. 57: τὰς ἀρχὰς καὶ τὴν πόλιν. 75: τὴν παρασκευὴν καὶ τὴν ἀνάγκην. 13, 63: ἡ δὲ τύχη καὶ ὁ δαίμων.

Plato, Rpb. 359 C: τῷ τε δικαίῳ καὶ τῷ ἀδίκῳ. 360 E: τόν τε δικαιότατον καὶ τὸν ἀδικώτατον. 363 E: ὁ μὲν οὖν ἔπαινος καὶ ὁ ψόγος οὗτος ἑκατέρων. 370 D. 371 E: ἥ τε δικαιοσύνη καὶ ἡ ἀδικία (cf. 372 E: τήν τε δικαιοσύνην καὶ ἀδικίαν). 410 A: τοὺς . . . εὐφυεῖς τὰ σώματα καὶ τὰς ψυχάς. Theaet. 186 A (603).

Xen. An. 1, 4, 4: τῆς Κιλικίας καὶ τῆς Συρίας. 3, 5, 14 (603). Hell. 1, 1, 31: τὰς ναῦς καὶ τὸ στράτευμα.

Thuc. 3, 3, 1: οὐκ ἔπειθον τοὺς Μυτιληναίους τήν τε ξυνοίκισιν καὶ τὴν παρασκευὴν διαλύειν. 15, 1: οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι. 18, 2: πληγέντες ὑπό τε τῶν Ἀντισσαίων καὶ τῶν ἐπικούρων.

Hdt. 1, 17: τά τε δένδρεα καὶ τὸν καρπόν. 52: τήν τε ἀρετὴν καὶ τὴν πάθην.

Ar. Ach. 130–2: ἐμοὶ . . . καὶ τοῖσι παιδίοισι καὶ τῇ πλάτιδι. 575: ὦ Λάμαχ' ἥρως, τῶν λόφων καὶ τῶν λόχων. 816–7. 888. 1074. 1086. Eq. 165: καὶ τῆς ἀγορᾶς καὶ τῶν λιμένων καὶ τῆς πυκνός. 208. 528.

Eur. Alc. 290: ὁ φύσας χἠ τεκοῦσα.

Aeschyl. P. V. 39: τὸ συγγενές τοι δεινὸν ἥ θ' ὁμιλία. 98–9: τὸ παρὸν τό τ' ἐπερχόμενον | πῆμα στενάχω. 927: τό τ' ἄρχειν καὶ τὸ δουλεύειν.

605. *Common Article:*

Lycurg. 30: ἐν τοῖς Λεωκράτους οἰκέταις καὶ θεραπαίναις βασανισθεῖσι.

Dem. 18, 1: τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης. 5: τῆς παρ' ὑμῶν εὐνοίας καὶ φιλανθρωπίας. 19, 309: διὰ τοὺς τῶν Ὀλυνθίων παῖδας καὶ γύναια.

Antiphon, 1, 30: τὴν ἀθλίαν καὶ τελευταίαν νόσον νοσῶν.

Plato, Rpb. 328 D: αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι τε καὶ ἡδοναί. 364 A: καλὸν μὲν ἡ σωφροσύνη τε καὶ δικαιοσύνη. 459 A: τοῖς τούτων γάμοις τε καὶ παιδοποιίαις. *Ibid.* D. Theaet. 144 B: ἐπὶ τὰς μαθήσεις τε καὶ ζητήσεις. 186 A (603).

Xen. An. 1, 7, 2: τοὺς στρατηγοὺς καὶ λοχαγούς. Hell. 1, 1, 30: τήν τε ἐπιμέλειαν καὶ προθυμίαν καὶ κοινότητα. 1, 2, 7.

Thuc. 1, 102, 4 (603). 143, 5: χρὴ . . . τὴν μὲν γῆν καὶ οἰκίας ἀφεῖναι, τῆς δὲ θαλάσσης καὶ πόλεως φυλακὴν ἔχειν. 2, 13, 1. 3, 9, 2 (*bis*). 4, 29, 3.

Com. Philem. 4, 24: ἕτερον τό τ' ἀλγεῖν καὶ θεωρεῖν ἐστ' ἴσως.

Ar. Ach. 1076: ὑπὸ τοὺς Χόας γὰρ καὶ Χύτρους. Eq. 320: τοῖς δημόταισι καὶ φίλοις.

Eur. Andr. 569–70: ἀλλὰ τὴν ἐμὴν ἐρημίαν | γνόντες τέκνου τε τοῦδ(ε).

Soph. El. 990–1: ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία | καὶ τῷ λέγοντι καὶ κλύοντι σύμμαχος. Cf. 1498: τά τ' ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά. O. C. 606: τἀμὰ κἀκείνων.

Aeschyl. Ag. 324: καὶ τῶν ἁλόντων καὶ κρατησάντων. P. V. 79–80: τὴν δ' ἐμὴν αὐθαδίαν | ὀργῆς τε τραχύτητα μὴ 'πίπλησσέ μοι.

606. ARTICLE WITH APPOSITIONS OF PERSONAL PRONOUNS.— Appositions with the personal pronoun take the article, even when the pronoun is involved in the verb. Omission occurs in poetry, rarely in prose. Compare also **13**.

ἡμεῖς οἱ πρέσβεις, AND. 3, 41; *We ambassadors.* **ἐμοὶ τῷ ἀπολογουμένῳ,** *Ibid.* 1, 6; *To me the defendant.*

DEM. 18, 49: ὑμῖν . . . τοῖς προδιδοῦσι καὶ μισθαρνοῦσιν. 89: ὑμεῖς οἱ τὰ βέλτιστα βουλόμενοι. 94.

ANDOC. 1, 6 (see above). 29: ὑμεῖς οἱ μεμνημένοι. 49: ἡμῶν τῶν συγγενῶν. 139: ὑμῶν τῶν καθημένων. 3, 41 (see above).

PLATO, Ion, 532 D: χαίρω γὰρ ἀκούων ὑμῶν τῶν σοφῶν. Legg. 680 C: οὐ . . . σφόδρα χρώμεθα οἱ Κρῆτες τοῖς ξενικοῖς ποιήμασιν. 707 B: ἡμεῖς γε οἱ Κρῆτες. Phaedr. 234 D: συνεβάκχευσα μετὰ σοῦ τῆς θείας κεφαλῆς.

XEN. An. 1, 7, 7: ὑμῶν δὲ τῶν Ἑλλήνων. 5, 7, 20: ἡμεῖς οἱ στρατηγοί. 6, 6, 14: ἡμᾶς τοὺς ἄλλους. Cyr. 4, 5, 22 (**13**).

THUC. 1, 34, 3: πρὸς ἡμᾶς τοὺς ξυγγενεῖς. 3, 57, 1: ἀπὸ ἡμῶν τῶν εὐεργετῶν τῆς Ἑλλάδος. 7, 14, 2: ἐμοὶ . . . τῷ στρατηγῷ.

HDT. 1, 11: ἀλλ' ἤτοι κεῖνόν γε τὸν ταῦτα βουλεύσαντα δεῖ ἀπόλλυσθαι, ἢ σὲ τὸν ἐμὲ γυμνὴν θεησάμενον.

AR. Eq. 458: ἡμῖν τε τοῖς πολίταις. 1359: ὑμῖν τοῖς δικασταῖς.

EUR. Andr. 391–2: κἄτ' ἔμ', οὐ κεῖνον κτενεῖς | τὸν αἴτιον τῶνδ(ε); 413–4: ὦ τέκνον, ἡ τεκοῦσά σ', ὡς σὺ μὴ θάνῃς, | στείχω πρὸς Ἅιδην. 1071: οἵας ὁ τλήμων ἀγγελῶν ἥκω τύχας.

SOPH. Ant. 922–3: τί χρή με τὴν δύστηνον ἐς θεοὺς ἔτι | βλέπειν; El. 282: ἐγὼ δ' . . . ἡ δύσμορος. 303–4: ἐγὼ δ' . . . ἡ τάλαιν(α). Ph. 951: οὐδ' εἰμ' ὁ δύσμορος.

HOM. Od. 2, 351: κεῖνον . . . τὸν κάμμορον. 7, 223 (= 248): ἐμὲ τὸν δύστηνον. 9, 61: οἱ δ' ἄλλοι φύγομεν.

Il. 3, 94: οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ τάμωμεν. 8, 211: ἡμέας τοὺς ἄλλους. 14, 368–9: εἴ κεν οἱ ἄλλοι | ἡμεῖς ὀτρυνώμεθ(α). 22, 59: ἐμὲ τὸν δύστηνον.

607. *Omission of the Article:*

PLATO, Euthyd. 278 E: ἆρά γε πάντες ἄνθρωποι βουλόμεθα εὖ πράττειν; Tim. 22 B: Ἕλληνες ἀεὶ παῖδές ἐστε.

COM. Philem. 4, 36: ἡμεῖς δ' ἀβίωτον ζῶμεν ἄνθρωποι βίον.

AR. Pl. 603: τί πάθω τλήμων;

EUR. Andr. 107: τὸν ἐμὸν μελέας πόσιν Ἕκτορα. Med. 231: γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν. 569–70: ὀρθουμένης | εὐνῆς γυναῖκες πάντ' ἔχειν νομίζετε.

SOPH. Ant. 977–8: μέλεοι μελέαν πάθαν | κλαῖον. O. C. 347: μεθ' ἡμῶν δύσμορος πλανωμένη. 1583: ὄλωλε γὰρ δύστηνος; Ph. 311: ἀπόλλυμαι τάλας. 923: ἀπόλωλα τλήμων. 1126: τὰν ἐμὰν μελέου τροφάν. Tr. 705: οὐκ ἔχω τάλαινα ποῖ γνώμης πέσω.

Hom. Od. 4, 145: ἐμεῖο κυνώπιδος. 14, 240: πολεμίζομεν νῖες Ἀχαιῶν. 19, 354: κεῖνον δύστηνον. 20, 115: ἐμοὶ δειλῇ.

Il. 1, 127–8: Ἀχαιοὶ . . . ἀποτίσομεν. 3, 180: δαὴρ . . . ἐμὸς ἔσκε κυνώπιδος. 6, 344: ἐμεῖο κυνός. 356.

For the article in the complexes consisting of a proper name and the words χώρα, ποταμός, ὄρος, νῆσος, θάλασσα, and similar words, see under the article with proper names §§ 536 ff.

The Article in the Combination of Article, Adjective, and Substantive

608. In the combination of article, adjective, and substantive five positions are to be noticed. Three of these are attributive and two predicative.

609. Attributive Positions. — There are three attributive positions. The first, *ὁ ἀγαθὸς ἀνήρ*, is the most simple, natural, and straightforward, and is briefer (*σύντομος*) than the second, *ὁ ἀνὴρ ὁ ἀγαθός*, which is more deliberate, and somewhat more rhetorical, pompous (*ὀγκώδης*), passionate.[1] The third position, *ἀνὴρ ὁ ἀγαθός*, is the epanorthotic, self-corrective, or slipshod position. In prose, it produces an effect of familiar ease. In poetry, as the substantive is more frequently anarthrous, the difference between *ἀνὴρ ὁ ἀγαθός* and *ὁ ἀνὴρ ὁ ἀγαθός* cannot be insisted on.[2]

οἱ ἄγριοι οἷες καὶ οἱ ὄνοι οἱ ἄγριοι ἀσινεῖς εἰσιν, Xen. Cyr. 1, 4, 7; *The wild sheep and the wild asses are harmless.* οἰκήσετε δὲ τὰς αὐτὰς οἰκίας καὶ χώραν τὴν αὐτὴν ἐργάσεσθε καὶ γυναιξὶ ταῖς αὐταῖς συνοικήσετε, Xen. Cyr. 4, 4, 10; *You will inhabit the same houses and till the same land and live with the same wives (as for land, you will till the same, as for wives, you will live with the same).*

Oratores Attici. In the case of the adjective possessive pronoun, according to statistics furnished by Dr. Alfred W. Milden, the first attributive position occurs 1102 times, the second 543 times, and the third only 10 times. It will thus be seen that the second position, on an average, occurs only half as often as the first, and that the third position is very rare. In Andocides the second position preponderates, and in Ps.-Dem. 49 it is used to the exclusion of the other two. The third position is limited to Antiphon (thrice), Lysias (4 times), Hyperides (once), Aeschines (once), and Demosthenes

[1] Aristot. Rhet. 3, 6 (1407 b, 26–37). The examples given are *τῆς ἡμετέρας γυναικὸς* for *συντομία* and *τῆς γυναικὸς τῆς ἡμετέρας* for *ὄγκος*. Cf. A. J. P. xx (1899), 459.

[2] A. J. P. xxiii (1902), 8.

(once). The percentages for the three positions are as follows: DIN. (only 28 instances) 82, 18, 0; LYCURG. (only 12 instances) 92, 8, 0; HYP. 53, 42, 5; DEM. 77, 23, 0;[1] PS.-DEM. 55, 45, 0; AESCHIN. 68, 31, 1; ISAE. 72, 28, 0; ISOC. 63, 37, 0; LYS. 71, 27, 1; ANDOC. 41, 59, 0; ANTIPHON, 55, 41, 5. The two extremes, not counting DINARCHUS and LYCURGUS, are ANDOCIDES with only 41% of the first position and DEMOSTHENES with 77%.

XEN. An. With adjectives, the first position occurs 113 times, the second position 13 times (Joost, p. 68), the third position 6 times (*ibid.* p. 72). With possessives, the first position occurs 31 times, the second position 4 times (*l.c.* p. 69), the third position once (*l.c.* p. 72).

THUCYDIDES. With possessives, according to Dr. A. W. Milden, the first position occurs 102 times in the speeches, the second position 3 times, and the third position 11 times.

HERODOTUS. According to Heikel,[2] the first position occurs 98 times in the first book of HERODOTUS, the second position 15 times, the third position 12 times.

ARISTOPHANES. The first position is more common than the second, the third is comparatively rare.

EURIPIDES. In the Alcestis the first position predominates, the third is not uncommon, the second very rare.

SOPHOCLES. In the Oedipus Tyrannus the first position is by far the most common, the second is rare, the third is not uncommon.

AESCHYLUS. The second position is very rare, the first and third positions correspond with the use of EURIPIDES and SOPHOCLES.

HOMER. The first position is common enough. The second position, according to Krüger, is wanting. The third position, though not uncommon with other adjectives, is rare with the possessive pronoun.

610. *Examples of First Position:*

DEM. 1, 1: τῆς ὑμετέρας τύχης. 16: τὴν ἰδίαν ἀσφάλειαν. 2, 7: τὸν Φωκικὸν πόλεμον. 13: τῆς οἰκείας ἀρχῆς.

ANTIPHON, 1, 3: τοῦ ἡμετέρου πατρός. 15: τὸν ἐμὸν πατέρα. 5, 37: οἱ ὕστεροι λόγοι . . . τῶν ὑστέρων λόγων. 40: μέχρι τῆς ἐσχάτης ἀνάγκης.

PLATO, Euthyd. 271 B: τοῦ ἡμετέρου . . . Κριτοβούλου. 272 D: τοὺς σοὺς υἱεῖς. Protag. 326 E: τῶν ἀγαθῶν πατέρων. Rpb. 420 C: τὰ κάλλιστα φάρμακα.

XEN. An. 1, 5, 7: τοῦ βαρβαρικοῦ στρατοῦ. 8: τοὺς πορφυροῦς κάνδυς . . . τὰς ποικίλας ἀναξυρίδας. 1, 6, 6: ὁ ἐμὸς πατήρ . . . ὑπὸ τοῦ ἐμοῦ ἀδελφοῦ. 7: τὴν ἐμὴν χώραν. Cyr. 1, 4, 7: οἱ ἄγριοι οἷες.

THUC. 1, 33, 1: τῆς ἡμετέρας χρείας. 35, 3: τῶν ὑμετέρων ὑπηκόων. 42, 3: ἡ . . . τελευταία χάρις. 49, 1: τῷ παλαιῷ τρόπῳ.

[1] As a matter of fact, there is one occurrence of the third position out of a total of 373 occurrences for the three positions.

[2] I. A. Heikel, De participiorum apud Herodotum usu, Helsingforsiae, 1884, p. 49.

HDT. 1, 87: τῇ σῇ . . . εὐδαιμονίῃ. 114: ὑπὸ τοῦ σοῦ δούλου. 7, 41: ὁ λοιπὸς ὅμιλος. 47: τὴν ἀρχαίην γνώμην. 48: τὰ ἡμέτερα πρήγματα.

AR. Ach. 33: τὸν δ' ἐμὸν δῆμον. 227: τῶν ἐμῶν χωρίων. Nub. 1225: τὸν ψαρὸν ἵππον. Vesp. 442: τὸν παλαιὸν δεσπότην.

EUR. Alc. 61: τοὺς ἐμοὺς τρόπους. 314: τῷ σῷ πατρί. 780: τὰ θνητὰ πράγματ(α). 1136: τοῦ μεγίστου Ζηνός.

SOPH. Ai. 37: τῇ σῇ . . . κυναγίᾳ. 104: τὸν σὸν ἐνστάτην. O. T. 27: ὁ πυρφόρος θεός. 130: ἡ ποικιλῳδὸς Σφίγξ.

AESCHYL. P. V. 7: τὸ σὸν . . . ἄνθος. 38: τὸ σὸν . . . γέρας. 79: τὴν δ' ἐμὴν αὐθαδίαν. 288: ταῖς σαῖς δὲ τύχαις.

PIND. O. 5, 4: τὰν σὰν πόλιν αὔξων. N. 7, 102: τὸ δ' ἐμὸν . . . κέαρ, *this heart of mine.*

THEOGN. 439: τὸν ἐμὸν . . . νόον. 519: τὸν ἐμὸν βίον.

HOM. Od. 2, 97: τὸν ἐμὸν γάμον. 4, 694: ὁ . . . ὑμέτερος θυμός. 10, 449: τοὺς ἄλλους ἑτάρους. 14, 153: τὰ ἃ δώμαθ'.

Il. 1, 185: τὸ σὸν γέρας. 2, 136: αἱ δέ που ἡμέτεραί τ' ἄλοχοι. 5, 321: τοὺς . . . ἑοὺς . . . ἵππους. 9, 654: ἀμφὶ . . . τῇ ἐμῇ κλισίῃ. 14, 373: τὰ μακρότατ' ἔγχε(α). 23, 336: τὸν δεξιὸν ἵππον.

611. *Second Position:*

ISOC. 5, 6: τὴν εὔνοιαν τὴν ἡμετέραν. 10: τῆς ἡλικίας τῆς ἐμῆς. 24: τοῖς ἐπιτηδείοις τοῖς ἐμοῖς.

AND. 1, 1: τῶν ἐχθρῶν τῶν ἐμῶν. 2: τοὺς νόμους τοὺς ἡμετέρους. 17: τὸν πατέρα . . . τὸν ἐμόν. 5, 34 (= 38): τῶν φίλων τῶν ἐμῶν. 47: τοῖς φίλοις τοῖς ἐμοῖς . . . τοῖς ἄρχουσι τοῖς ὑμετέροις.

PLATO, Alc. I, 121 C: ὁ παῖς ὁ πρεσβύτατος. 124 C: ὁ ἐπίτροπος ὁ ἐμός. Protag. 324 D: τῶν ἀνδρῶν τῶν ἀγαθῶν . . . οἱ ἄνδρες οἱ ἀγαθοί.

XEN. An. 3, 2, 11: τῶν προγόνων τῶν ἡμετέρων. Cyr. 1, 4, 7: οἱ ὄνοι οἱ ἄγριοι. 5, 5, 26: τήν τε γὰρ χώραν . . . τὴν σήν. 30: τὴν γυναῖκα τὴν σήν.

THUC. 1, 50, 3: τοὺς νεκροὺς τοὺς σφετέρους. 86, 1: τοὺς . . . λόγους τοὺς πολλούς. 140, 1: τῆς . . . γνώμης . . . τῆς αὐτῆς. 2, 71, 4: τὴν γῆν τὴν Πλαταιίδα (but 74, 3: γῆν τὴν Πλαταιίδα). 3, 54, 2: πρὸς τὸ ἐρώτημα τὸ βραχύ. 6, 9, 3: τοὺς τρόπους τοὺς ὑμετέρους. 20, 2: τὴν ἀρχὴν τὴν ἡμετέραν. 7, 63, 3: τῆς ἀρχῆς τῆς ἡμετέρας.

HDT. 1, 9: ἡ γυνὴ ἡ ἐμή. 116: τὸν παῖδα τὸν σόν. 7, 10 α): τὸν χρυσὸν τὸν ἀκήρατον. 40: τοὺς ὧν δὴ ἵππους τοὺς μεγάλους. 48: τὸ ναυτικὸν τὸ ἡμέτερον.

AR. Ach. 644: τὸν ποιητὴν τὸν ἄριστον. 676: οἱ γέροντες οἱ παλαιοί. Av. 108: αἱ τριήρεις αἱ καλαί.

EUR. Alc. 723: κακὸν τὸ λῆμα κοὐκ ἐν ἀνδράσιν τὸ σόν. Andr. 237: ὁ νοῦς ὁ σός.

SOPH. Ai. 442: τῶν ὅπλων τῶν ὧν. O.T. 1079: τὴν δυσγένειαν τὴν ἐμήν.

AESCHYL. Cho. 730: ἔοικεν ἀνὴρ ὁ ξένος τεύχειν κακόν (ἀνὴρ ex coniect.; ἀνὴρ M). P. V. 942: τοῦ τυράννου τοῦ νέου.

HOMER. There are apparently no examples of the second position, but see **613**.

612. *Third Position:*

AESCHIN. 2, 180: εἰς μνήμην . . . τὴν ἐμήν.

DEM. 27, 5: σκεύεσι χρῆσθαι τοῖς ἐμοῖς. [59], 1: καὶ εἰς κινδύνους τοὺς ἐσχάτους κατέστημεν ὑπ' αὐτοῦ.

HYPER. 5, 1: μετ' εὐνοίας τῆς ἐμῆς.

ISOC. 2, 44: κωμῳδίας τῆς φαυλοτάτης.

LYS. [6], 34: διὰ πρᾳότητα καὶ ἀσχολίαν τὴν ὑμετέραν. 13, 20: ἐπ' εὐνοίᾳ τῇ ὑμετέρᾳ. 21, 10: ἀπὸ παρασκευῆς τῆς ἐμῆς. 22, 13: ἐπ' εὐνοίᾳ . . . τῇ ὑμετέρᾳ.

ANTIPHON, 5, 11: ὅρκον τὸν μέγιστον καὶ ἰσχυρότατον . . . οἰκίᾳ τῇ σῇ. 41: χάριτι τῇ ἐμῇ.

PLATO, Alc. I, 106 E: κατὰ μνήμην τὴν ἐμήν. Gorg. 486 A: εὐνοίᾳ γὰρ ἐρῶ τῇ σῇ. Soph. 225 D: κατὰ γνώμην τὴν ἐμήν.

XEN. Cyr. 3, 1, 28: εὐνοίᾳ καὶ φιλίᾳ τῇ ἐμῇ. 3, 3, 44: ὑπὲρ ψυχῶν τῶν ὑμετέρων. 4, 4, 10: χώραν τὴν αὐτήν . . . γυναιξὶ ταῖς αὐταῖς . . . παίδων τῶν ὑμετέρων. 5, 2, 10: δύναμιν τὴν σήν. 5, 3, 6: δεσπότης ὁ σός.

THUC. 1, 1, 1: παρασκευῇ τῇ πάσῃ. 5, 1: κέρδους τοῦ σφετέρου. 15, 2: ὁμόρους τοὺς σφετέρους. 25, 4: ἐν πανηγύρεσι ταῖς κοιναῖς. 33, 3: φόβῳ τῷ ὑμετέρῳ. 41, 2: ἐχθροὺς τοὺς σφετέρους. 53, 2: πολεμίους τοὺς ἡμετέρους. 3, 56, 2: πόλιν . . . τὴν ἡμετέραν. 57, 1: ἱεροῖς τοῖς κοινοῖς. 58, 4. 5. 59, 2: θεοὺς τοὺς ὁμοβωμίους καὶ κοινούς.

HDT. 1, 9: γυναῖκα τὴν ἐμήν. 87: ἐπὶ γῆν τὴν ἐμήν. 3, 27: εἵματα ἐφόρεον τὰ κάλλιστα. 155: ἔργῳ τῷ αἰσχίστῳ οὔνομα τὸ κάλλιστον ἔθευ. 7, 2: μητρὸς οὐ τῆς αὐτῆς. 5: γῆν τὴν σήν. 8 α): πατὴρ . . . ὁ ἐμός. β): πατέρα τὸν ἐμόν. γ): γῆν τὴν Περσίδα. 9 γ): νέας τὰς ἁπάσας. 10 α): πατρὶ τῷ σῷ.

AR. Vesp. 580: ῥῆσιν τὴν καλλίστην. Pl. 1013: μυστηρίοις δὲ τοῖς μεγάλοισι.

EUR. Alc. 3: παῖδα τὸν ἐμόν. 158: ἡμέραν τὴν κυρίαν. 337: αἰὼν οὑμός. 348: δέμας τὸ σόν. Andr. 166: δῶμα τοὐμόν. 310: θυγατρὸς τῆς ἐμῆς. 416: πατρὶ τῷ σῷ.

SOPH. Ai. 493: εὐνῆς τε τῆς σῆς. 499: ξὺν παιδὶ τῷ σῷ. 506: πατέρα τὸν σόν. O. T. 16: βωμοῖσι τοῖς σοῖς. 49: ἀρχῆς δὲ τῆς σῆς. 420: βοῆς δὲ τῆς σῆς.

AESCHYL. Eum. 66: ἐχθροῖσι τοῖς σοῖς. 242: δῶμα καὶ βρέτας τὸ σόν. P. V. 231: βροτῶν δὲ τῶν ταλαιπώρων. 388: θρῆνος οὑμός. 439: θεοῖσι τοῖς νέοις.

PIND. O. 5, 10–11: ἄλσος ἀγνὸν | τὸ τεόν.

THEOGN. 635: ἀνδράσι τοῖς ἀγαθοῖς.

HOM. Od. 7, 326: ἤματι τῷ αὐτῷ. 12, 252: ἰχθύσι τοῖς ὀλίγοισι. 14, 61: ἄνακτες οἱ νέοι. 23, 90: τοίχου τοῦ ἑτέρου.

Il. 6, 201: πεδίον τὸ Ἀλήιον. 8, 360: πατὴρ οὑμός. 9, 219: τοίχου τοῦ ἑτέροιο. 11, 288: ἀνὴρ ὥριστος. 13, 794: ἠοῖ τῇ προτέρῃ.

613. RARE ATTRIBUTIVE POSITION. — There are a very few examples

of the attributive use of the type ὁ ἀνὴρ ἀγαθός. Here the adjective is appositive rather than predicative. In the Homeric examples, some consider the article as still a demonstrative.

EUR. Hipp. 683–4: Ζεύς σ' ὁ (so the Mss.; Wolff σε) γεννήτωρ ἐμὸς[1] | πρόρριζον ἐκτρίψειεν.

SOPH. Ai. 571–2: καὶ τἀμὰ τεύχη μήτ' ἀγωνάρχαι τινὲς | θήσουσ' Ἀχαιοῖς μήθ' ὁ (so Mss.; Schaefer μήτε) λυμεὼν ἐμός.[1]

HOM. Od. 9, 378: ὁ μοχλὸς ἐλάϊνος (cf. 375: τὸν μοχλόν), *of olive* (*and green olive to boot* 379). 464: τὰ μῆλα, ταναύποδα, πίονα δημῷ. 11, 492: τοῦ (*my*) παιδός, ἀγαυοῦ. 17, 10: τὸν ξεῖνον, δύστηνον, *the stranger, ill bestead that he is.*

Il. 1, 340: πρὸς τοῦ βασιλῆος, ἀπηνέος. 2, 275: τὸν λωβητῆρα, ἐπεσβόλον. 21, 317: τὰ τεύχεα, καλά, *fine though they be.*

614. ATTRIBUTIVE ADVERB. — The attributive position is the only one of which the adverb is capable when combined directly with an articular substantive.

ταῖς . . . ὄντως μαίαις, PLATO, Theaet. 150 A; *Real midwives.* **τῆς ἀμελείας ταύτης τῆς ἄγαν**, DEM. 4, 17; *This carelessness, this over* (*carelessness*). **δέους καὶ ταραχῆς τῆς τότε**, LYS. [6], 35; *The terror and unrest then prevailing.*

LYCURG. 134: τῶν πώποτε προδοτῶν.

DEM. 4, 17 (see above). 23, 196: τοῖς ὡς ἀληθῶς εὐεργέταις.

ISOC. 6, 28: τοὺς ὡς ἀληθῶς Μεσσηνίους. 62: περὶ τῶν ἔξωθεν βοηθειῶν.

LYS. [2], 6: διὰ τὴν ἐνθάδε συμφοράν. 26: τήν τ' ἐνθάδε ἄφιξιν τῶν βαρβάρων. [6], 35 (see above).

